Ratio numerorum inde a Philolao, qui scripsit *περὶ τῆς δεκάδος*, ab Archyta et a Speusippo, qui *περὶ Πυθαγορικῶν ἀριθμῶν*, saepe retractata est, a Philone Alexandrino in opusculo *περὶ ἀριθμῶν* (cf. quae collegit K. Staehle, *Die Zahlenmystik bei Philo v. Alex.*, 1931), ab Anatolio (cf. excerptum quod ed. Heiberg, *Annales internat. d'histoire, congrès de Paris*, 1900, p. 27 ss. ; Borghorst, *De Anatolii fontibus*, Diss. Berol. 1905), a Nicomacho in opusculo quod de theologia arithmetica composuit (quod excerpsit Photius, cod. 187), a Iamblicho (cf. *Theol. arithm.* Iamblicho adscriptam, ed. De Falco 1922), aliis. Multa deinde in commentaria et in Platonis *Timaeum* et in Aristotelis *Metaphysica* (Syriani, Asclepii, Alexandri) collecta sunt ; cf. etiam Theo Smyrn. p. 94 ss. Hiller ; Macrob., *Somn.* 1, 6 ; Mart. Cap. VII, 731 ss. ; Lyd., *mens.* II, 6 ss. Psellus ipse rem alibi quoque tractaverat, cf. capitula quae ediderunt Vincent, *Not. et extr.* XVI, 2, 1847, p. 323 = *Patr. Gr.* vol. 122, p. 1085 et Tannery, *Rev. ét. gr.*

V, 1892, p. 343 ss. In excerpto codicis Barocciani Psellus fontem non indicat; quem Iamblichum vel Proclum fuisse conieceris. De eis quae ad doctrinam excerpti spectant haec observanda sunt: 1) quaedam de hebdomadica doctrina interiecta sunt (p. 105, 12-18), a decadica ratione sine dubio aliena; 2) numeri 1-4 et 10 amplius tractati sunt 5-7 fere omissis, id quod fit in tractatibus de quaternario numero (τετρακτύς); 3) nomina deorum cum singulis numeris coniunctorum hic, ut in Anatolio, omissa sunt; 4) quae de Necessitate in decade nata dicuntur, ad Platonis *Timaeum* referre videntur (v. infra).

De hac doctrina disseruerunt Schmekel, *Die Philosophie der mittleren Stoa*, p. 409 ff.; Borghorst, *l.c.*; Delatte, *Études sur la littérature pythagoricienne*, 1915, p. 167 ss.; F. E. Robbins, *Class. Philol.*, XVI, 1921, p. 97 ss.; id., in: Nicomachus of Gerasa, *Introduction to Arithmetic*, transl. by M. L. D'Ogge, 1926, p. 88-110; De Falco, *Riv. Indo-Greco-Ital.* VI, 1922, p. 49 ss.; 211 ss.; E. Frank, *Plato u. die sog. Pythagoreer*, 1922, p. 245 ss.; 309 ss.; Staehle, *l.c.*

F. 404v. *Περὶ τῶν ἰδιωμάτων τῶν ἀριθμῶν.*

Ἰδιώματα δὲ τῶν ἀπὸ μονάδος μέχρι δεκάδος ἀριθμῶν, περὶ ὧν μαθεῖν ἐζήτησας συντόμως εὑρεῖν, ταῦτα. ἁρμόζει τοίνυν τῇ μονάδι τὸ οὐσιῶδες καὶ τὸ ὑλικόν· καὶ τὸ τῆς γενέσεως ὄνομα, ἐπειδήπερ ἕκαστος τῶν ἀριθμῶν καὶ γεννᾶται καὶ αὔξεται. ἔτι δὲ καὶ γένος καὶ εἶδος· πάντα γὰρ τὰ εἴδη τῶν ἀριθμῶν περιέχεται ἐν αὐτῇ. τετράγωνόν τέ ἐστι καὶ κυβικόν. τῇ δὲ δυάδι ὡς ὑλικῇ προσήκει τὸ ἄπειρον καὶ σκότιον καὶ ἄγνωστον καὶ θηλυγενὲς καὶ τὸ ἀόριστον. δυὰς δὲ ὠνομάσθη ἀπὸ τοῦ δύο εἴδη εἶναι καὶ μὴ δύνασθαι τὴν διάνοιαν κατὰ μίαν ἐπιβολὴν νοῆσαι αὐτήν. προσήκει δὲ καὶ ἐνιαῖα ἀγαθὰ τῇ δυάδι· πρόσχωρος γὰρ οὖσα τῷ ἑνὶ μετείληφε τῆς ἀπ' αὐτοῦ δυνάμεως· ἐκ ταύτης γὰρ ὁ διπλάσιος λόγος καὶ ἡ διὰ πασῶν συμφωνία προσήκει τε αὐτῇ καὶ ταῖς τῶν ὄντων

4 *ὑλικόν* vix sanum (cf. e.g. Macrob. *Somn.* I, 6, 9 ... *hanc monadem repperies ad animam referri: anima enim aliena a silvestris* (= ὑλικός) *contagione materiae...*; possis scribere ὁλικόν), nisi forte de numerorum generatione est dictum (sicut Nicom. *Theol. arithm.*, ap. Phot. cod. 187 (μονάς ... καὶ ὕλη δέ πως) 7 κυβικά cod.

8 καὶ [3]] κατὰ cod. 11 ἐν. ἀγ. scripsi: ἐνιαυτῶν ἀγαθῶν cod. (cf. Iambl. *Theol. arithm.* p. 8,20 De Falco ... ἡ ἑνωτικὴ δύναμις τῆς μονάδος προσελθοῦσα τῇ δυάδι...; Procl. *In Tim.* 42 e [III, p. 317 D.] καὶ ὁ μὲν πατρικὴν ἔχειν ἀξίαν λέγεται, οἱ δὲ ἐκείνου προσαγορεύονται παῖδες ὡς ἂν τὴν γόνιμον ἐκείνου δύναμιν καὶ τὴν ἀγαθότητα τὴν ἑνιαίαν ἀποτυπούμενοι...)

ἀρχαῖς. τῇ δὲ τριάδι προσαρμοστέον τὸ τέλειον καὶ τὸ ἀρχηγικὸν τῶν σχημάτων· καὶ ὅτι σωματοῦται τὰ πράγματα ἐν αὐτῇ καὶ ἀναλογία ἐμφαίνεται καὶ μεσότης καὶ γωνίας γένεσις ὀρθῆς καὶ ὀξείας καὶ ἀμβλείας. τῇ δὲ τετράδι προσήκει τὸ στοιχειῶδες καὶ ὁ ἀριθμὸς τῶν ἐν οὐρανῷ κέντρων καὶ τῶν τεσσάρων τροπικῶν ζῳδίων καὶ τὸ στερεόν. καὶ ὅτι καὶ τὸ δωδεκάεδρον τετραγωνικὰς ἔχει τὰς ἐπιφανείας καὶ τοῦ σφαιροειδοῦς σχήματος αἱ περὶ τὸ κέντρον γωνίαι τέσσαρές εἰσιν ἢ τέσσαρσιν ὀρθαῖς εἰσι, οἶσθα. ὁ δὲ πέντε ἀριθμὸς πρῶτος ἐκ τοῦ πρώτου ἀρτίου καὶ τοῦ πρώτου περιττοῦ συντέθειται. ὁ δὲ ἕκτος ἐκ τῶν αὐτῶν πολλαπλασιάζεται. κατὰ δὲ τὴν ἑπτάδα ἡ ἔμφρων καὶ λόγον ἔχουσα ψυχὴ συνέστη (κατὰ μὲν γὰρ τὴν μονάδα τὸ σημεῖον, κατὰ δὲ τὴν δυάδα ἡ γραμμή, κατὰ τὴν τριάδα τὸ ἐπίπεδον, κατὰ τὴν τετράδα τὸ στερεὸν σῶμα, κατὰ δὲ τὴν πεντάδα τὸ αἰσθητόν, ἤτοι τὸ κεχρωσμένον καὶ πεποιωμένον, κατὰ δὲ τὴν ἑξάδα τὸ ἔμψυχον, ὅθεν καὶ ζωοποιὸς ἡ ἑξάς, κατὰ δὲ τὴν ἑπτάδα ἡ ἔμφρων καὶ λόγον ἔχουσα ψυχὴ συνέστη). ὁ δὲ ὀκτὼ πρῶτος κύβος ἐστί, ἐφάπτεται δὲ καὶ τῆς ἁρμονίας καὶ τῶν μερῶν αὐτῆς, ἀνάλογός τέ ἐστι τῇ γεωμετρικῇ μεσότητι καὶ συγγενὲς τῇ δυάδι. ὁ δὲ ἐννέα ἰσοποιὸς ἐν τετραγώνοις πρῶτος, ἔχει δὲ καὶ πρὸς ἓν πολλὴν οἰκειότητα καὶ πρὸς τὸν ὀκτὼ τὸν ἐπόγδοον λόγον ποιεῖ. κατὰ δὲ τὴν δεκάδα ὁ κόσμος ἐγένετο καὶ τὸ πέρας τῶν πραγμάτων φανερὸν ἐν ταύτῃ. † πρῶτον καλεῖται καὶ τὸ τέ ... ὤφθη†. καὶ ἡ ἀνάγκη ἐν τῇ δεκάδι ἔφυ, καὶ ὁ κόσμος ἀνάγκῃ ἐτελειώθη (1). *πολλὰ μὲν*

7 *σφαιροειδοῦ* cod. 9 *ἴσθα* cod. 11 *ἔμφρων* scripsi (cf. l. 16): *κύφρων* cod. 14 s. cf. Iambl., *theol. arithm.*, p. 74 De Falco *Φιλόλαος* (A 12 D.) *δὲ μετὰ τὸ μαθηματικὸν μέγεθος τριχῇ διαστὰν ἐν τετράδι, ποιότητα καὶ χρῶσιν ἐπιδειξαμένης τῆς φύσεως ἐν πεντάδι, ψύχωσιν δὲ ἐν ἑξάδι, νοῦν δὲ καὶ ὑγείαν ... ἐν ἑβδομάδι ...*

23 *ἐνταυτὸν* cod. *πρῶτον*] an *ἀρχὴ*? *τὸ* $\frac{\bar{\epsilon}}{\tau}$ (= *τέλος*) *ὤφθη* (sive *ἄφθη*) cod.

(1) Cf. Aet., *Plac.* I,25,2 (*Doxogr.* p. 321) *Πυθαγόρας ἀνάγκην ἔφη περικεῖσθαι τῷ κόσμῳ*; Plat., *Tim.*, 48 a *μεμειγμένη γὰρ οὖν ἡ τοῦδε τοῦ κόσμου γένεσις ἐξ ἀνάγκης τε καὶ νοῦ συστάσεως ἐγεννήθη...* (cf. Taylor ad l.); *rep.* 616 c; Procl., *in remp.* II, p. 204; p. 344 ss. Kr.; Iambl., *Th. ar.*, p. 81, 19 De Falco; Gundel, *Beitr. z. Entwicklungsgesch. d. Begriffe Ananke u. Heimarmene*, 1914, p. 20; Bidez-Cumont, *Les Mages hellénisés*, II, p. 160, 3; 244, 3.

οὖν καὶ ἄλλα τὰ τῶν ἀριθμῶν ἰδιώματα, ἀλλ' ἐγὼ τὰ πλείω συστείλας μέρος τὰ εἰρήμενα ἐποιησάμην ἐπιστολῆς.

Excerpta e Procli commentario in Oracula Chaldaica

Tractatus Pselli, qui in codice Barocciano (=B) varias Graecorum sententias de anima continere dicitur, re vera soli Proclo debetur. Pars enim huius tractatus (p. 106, 5 - 107, 13; 109, 16 - 111, 9) in opusculo codicis Vat. gr. 1026 (= V) invenitur, quod, ut titulus docet, e Procli opere de oraculis Chaldaicis sumptum est (ed. G. B. Pitra, *Analecta sacra*, V, 2, p. 188 ss. et A. Jahn, *Eclogae e Proclo de philosophia Chaldaica*, 1891, p. 1 ss.); pars alia (p. 108, 3-23) in alio opusculo Pselli exstat, quod e codice Paris. 1182 (= P) post Opsopoeum et Gallaeum edidit Mignius (*Patr. Gr.*, vol. 122, p. 1123 ss.; cf. in primis p. 1128; 1145) (1). — De doctrina oraculorum disseruerunt Jahn, *l.c.*; Kroll, *De oraculis Chaldaicis* 1894; id. *R.E.*, X, p. 15 ss., s.v. Iulianus; Bidez, *Cat. codd. alchim. gr.* VI, 1928, passim; W. Theiler, *Die chald. Orakel u. die Hymnen des Synesios* (*Schriften der Königsberger Gelehrten Gesellschaft*, XVIII, 1), 1942; Dodds, *Journ. Rom. Stud.*, XXXVII, 1947, p. 55 ss.; Cumont, *Lux Perpetua*, p. 361 ss.

F. 409v. *Διάφοραι δόξαι Ἑλληνικαὶ περὶ ψυχῆς.*

Τολμῶσιν ἔνιοι τῶν Ἑλλήνων καὶ περὶ τῶν ἡμετέρων ἀπορρήτων σαφῶς διαλέγεσθαι. ὁ γοῦν φιλόσοφος Πρόκλος τὴν ἐντεῦθεν ἀπαλλαγὴν τῆς ψυχῆς ὡς ἔχει φύσεως παριστῶν· φερομένη, φησί, περὶ τὴν ψυχὴν ἀγγέλων μερὶς καὶ περιλάμπουσα αὐτὴν πανταχόθεν καὶ πλήρη ποιοῦσα τοῦ ἀχράντου πυρός, ὃ ἐνδίδωσιν αὐτῇ τάξιν ἄκλιτον καὶ δύναμιν, δι' ἣν οὐκ ἐκροιζεῖται εἰς τὴν ὑλικὴν ἀταξίαν, ἀλλὰ συνέπεται τῷ θείῳ φωτί, συνέχει αὐτὴν

3 *ἀπορήτων* B 4 *διαλέγονται* B 8 *ἐκροιζεῖ* B
9 *συνάπτεται* V

(1) Alia excerpta Pselli edita sunt a Mignio, p. 1149 s. et a Krollio, *l.c.*, p. 73 ss. De ceteris horum oraculorum vestigiis apud Synesium, Damascium, Psellum, Michaelem Italicum, Nicephorum Gregoram, alios, cf. Kroll, *l.c.*, 11, 5; Bidez, *l.c.*; Theiler, *l.c.*, 5, 1 al.; L.G. Westerink, *Mnemosyne* III. ser. X, 1942, p. 275 ss.

ἐν οἰκείῳ τόπῳ καὶ ἀμιγῆ ποιεῖ πρὸς τὴν ὕλην τῷ θερμῷ πνεύματι κουφίζουσα καὶ ποιοῦσα μετέωρον διὰ ἀναγωγοῦ ζωῆς (1). *τέλος δέ, φησί, τῶν ἀνόδων ἡ μετουσία τῶν θείων καρπῶν καὶ ἡ αὐτοφανὴς τοῦ πυρὸς ἀποπλήρωσις, ἥτις ἐστὶν ἡ τοῦ θεοῦ ὄψις. ὑμνῳδὸς δὲ ἀποτελεῖται τοῦ θεοῦ <ἡ ψυχὴ> καὶ τὰ συνθήματα τοῦ πατρὸς τὰ ἄρρητα προσβαλλομένη* (2). *τοιοῦτοι γὰρ οἱ νοεροὶ καὶ ἀφανεῖς ὕμνοι ἀναγομένης ψυχῆς ἀνακινοῦντες τὴν μνήμην τῶν ἁρμονικῶν <λόγων>, οἳ φέρουσιν ἀπορρήτους εἰκόνας τῶν θείων ἐν αὐτῇ δυνάμεων.*

βάθος δὲ ψυχῆς ἐστιν αἱ τριπλαῖ αὐτῆς γνωστικαὶ δυνάμεις, αἱ νοεραί, αἱ διανοητικαί, αἱ δοξαστικαί· ὄμματα δὲ αἱ τριπλαῖ τούτων ἐνέργειαι· τὸ γὰρ ὄμμα γνώσεως σύμβολον, ὥσπερ ἡ ζωὴ ὀρέξεως (3).

καὶ ῥίζα μὲν τῆς κακίας τὸ σῶμα, τῆς δὲ ἀρετῆς ὁ νοῦς (4).

καὶ τοῦτο δέ φησιν ὁ φιλόσοφος, ὅτι μηδεὶς εἰς ὀργὴν θεοῦ ἀναφερέτω τὰς αἰτίας τῶν ἐνταῦθα τιμωριῶν, ἀλλ' οὔσης ἐν τῷ παντὶ κόσμῳ δίκης τε καὶ κρίσεως, ὑφ' ὧν κατευθύνεται πάντα καὶ μετρεῖται τοῖς προσήκουσιν ὅροις, ἐξ ἀνάγκης ἕπεται τοῖς ἀφισταμένοις τῶν κρειττόνων ἀκόλουθος τιμωρὸς †πάθη τῶν πλημμελησάντων περὶ τὸ θεῖον† ἐπ' ὠφελείᾳ τῶν τὴν δίκην ὑπεχόντων (5).

4 *αὐτοφαής* V 5 supplevi 6 *προβαλλομένη* V
8 suppl. V *εἰκόνες* B 11 *διανοητικαί* P : *νοητικαί* B : *νοητάς* V
12 *γνωστικαὶ ἐνέργ.* V 16 *τῶν ἐνταῦθα* bis B 17 *χρίσεως* B
19 fort. leg. *πάθει < κολάζουσα > τοὺς πλημμελήσαντας* (cf. p. 108, 15)

(1) Cf. Kroll, *l.c.*, p. 53; Bousset, *Die Himmelsreise der Seele*, *Arch. Rel. Wiss.*, IV, 1901, p. 136 ss.; Cumont, *Les anges du paganisme*, *Rev. hist. rell.*, LXXII, 1915, p. 178, 5; *Symbolisme funéraire*, p. 140, 5; Theiler, *l.c.*, p. 33 ss.

(2) Cf. infra, p. 110 14 ss.; Olymp. *In Phaed.*, p. 244 N. *τὸ λόγιόν φησι τὰς ψυχὰς ἀναγομένας τὸν παιᾶνα ᾄδειν*; Jahn, *l.c.*, p. 9; Kroll, p. 54; Cumont, *Symbolisme funéraire*, p. 262; *Lux Perpetua*, p. 364; Theiler, p. 34.

(3) Cf. Psell. (*Patr. Gr.* 122), p. 1137 b *οἰγνύσθω ψυχῆς βάθος ἄμβροτον· ὄμματα πάντα / ἄρδην ἐκπέτασον ἄνω*; Jahn, p. 15; Kroll, p. 51.

(4) Cf. Jahn, p. 22; Kroll, p. 48; 64.

(5) Procl. *In Tim.*, I, p. 38 D. *ἴδοις δ' ἂν ἐκεῖ καὶ τὴν Δίκην τὴν μετὰ τοῦ Διὸς τὰ πάντα κατευθύνουσαν — ἕπεται γὰρ αὐτῷ πρὸ τοῦ θείου νόμου τιμωρός* (= Plat. *legg.*, IV, 716 a) ...; III, p. 290 D. ... *τὴν Δίκην ἐκ μέσης τῆς ἡλίου σφαίρας ἐπὶ τὸ πᾶν προιοῦσαν τὰ πάντα κατευθύνειν λέγουσιν .... ἡ Δίκη τῷ Διὶ συνεπομένη τῶν ἀπολειπομένων ἐστὶ τοῦ*

εἶτα καὶ ταῦτα παραγγέλλει τοῖς ἀναγομένοις ἴσως φιλοσοφώτερον ·

μὴ τὰ πελώρια μέτρα γαίης ὑπὸ σὴν φρένα βάλλου
<οὐ γὰρ ἀληθείης φυτὸν ἐν χθονί>,
μηδὲ μέτρει μέτρον ἠελίου κανόνας συναθροίσας ·
ἀιδίῳ βουλῇ φέρεται πατρός, οὐχ ἕνεκεν σοῦ.
μήνης ῥοῖζον ἔασον · ἀεὶ τρέχει ἔργῳ ἀνάγκης,
ἀστέριον προπόρευμα σέθεν χάριν οὐκ ἐλοχεύθη.
αἴθριος ὀρνίθων ταρσὸς πλατὺς οὔποτ' ἀληθής,
<οὐ> θυσιῶν σπλάγχνων τε τομαί · τάδ' ἀθύρματα πάντα,
ἐμπορικῆς ἀπάτης στηρίγματα. φεῦγε σὺ ταῦτα
μέλλων εὐσεβίης ἱερὸν παράδεισον ἀνοίγειν,
ἔνθ' ἀρετὴ σοφία <τε> καὶ εὐνομία συνάγονται (1).

φησὶ δὲ ὁ φιλόσοφος παρακούσας ἴσως τῶν ἡμετέρων λογίων μέχρι τῶν ἀπογόνων διατείνειν τὴν ἀπὸ θεοῦ κόλασιν, αἰτίαν ἐπάγων οὐκ ἄγνωστον μόνον ἡμῖν, ἀλλὰ καὶ ἀντίθετον. τῶν συγγενικῶν, φησὶ γάρ, ψυχῶν ὁμοφυὴς ἐστιν ἡ σύνταξις καὶ αἱ μήπω ἀπολυθεῖσαι τῶν τῆς φύσεως δεσμῶν ἐν τοῖς τῶν ὁμογενῶν κατέχονται πάθεσιν (2) · *ἐναπεμόρξατο γάρ τι καὶ †ταύτης δυσέκνει καιρὸν† ἡ πρὸς τὰς πλημμελεῖς ψυχὰς κοινωνία τῆς ζωῆς. δεῖ οὖν καὶ ταύτας τὸ μέρος τυχεῖν τῆς ὅλης δίκης καὶ ἀναπλησθείσας διὰ τὴν φυσικὴν συγγένειαν τῶν μιασμάτων καθαρθῆναι πάλιν δι' αὐτῶν.*

καὶ ἵνα ἔχῃ, φησί, καὶ ὁ περὶ γῆν τόπος ζῷον θεοσεβέστατον γι-

3 *γυίης* B *βάλου* B 4 om. B 5 Procl., *Tim.* I, 202 D. *μετρῶν δρόμον ἠελίου κανόνας συναθροίσας* 7 *τρέχειν* B 9 *οὔπω τάλ.* B 10 *οὐ* Synes. : om. BP *τε* P : *τ' αἱ* B 11 *φεῦ δὲ* B 12 *εὐσεβείης* BP *παρ. ἱερ.* B 13 *τε* P : om. B 19 *ταύταις* coni. Delatte *δυσέκνιπτον* coni. Dodds *κακὸν* coni. Delatte 21 *δίκην* B 22 s. *δι' αὐτῶν* B ; *ἐξ αὐτῶν* P

θείου νόμου τιμωρός ; III, 232 D. ; *in remp.*, II, p.144 Kr. ; *Theol. Plat.* VI, 8, p. 363 P. ; Orph. *frg.* 158-160 K. (cf. etiam *ad Rom.* 3, 5 *μὴ ἄδικος ὁ θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν κτλ.*).

(1) Hi versus repperiuntur etiam apud Psellum (*Patr. Gr.* 122) p. 1128 ; l. 8 apud Proclum, *Tim.* III, p. 124 D. ; l. 10 apud Synesium, *insomn.*, 5, p. 152 Terz. ; cf. Kroll, p. 64 s. ; W. Lang, *Das Traumbuch d. Synes.*, p. 53 s.

(2) Psell. p. 1145 † *ἀεὶ τούσδε χθὼν κατωρύεται* † *ἐς τέκνα μέχρις* ; Kroll, p. 63.

νώσκειν τὰ θεῖα καὶ θεραπεύειν δυνατόν (1), *αἱ ψυχαὶ πέμπονται παρὰ τοῦ πατρὸς εἰς τὴν γένεσιν.*

τὰς δὲ ἰδέας φησὶ πᾶσαν τὴν τοῦ κόσμου δημιουργίαν συνέχειν, καθ' ἃς ὁ πατὴρ τὴν ὕλην διεκόσμησε πρὸ τῶν ἀποτελεσμάτων τὰ πρωτουργὰ αἴτια τῶν ὅλων ἐν ἑαυτῷ προστησάμενος (2).

καὶ αἱ μὲν ἔννοιαί εἰσι δημιουργικαί, αἱ δὲ νοήσεις ποιήσεις.

καὶ τὸν μὲν νοῦν ἀμέριστον, φησί, παρήγαγεν ὁ θεὸς αἰωνίαν ἔχοντα καὶ τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν, τὸ δὲ σῶμα μεριστὸν καὶ τὴν ὑπόστασιν καὶ τὴν κίνησιν, τὴν δὲ ψυχὴν μέσην, τὴν μὲν φύσιν ἀμέριστον ἔχουσαν, τὴν δὲ ἐνέργειαν κατὰ χρόνον κινουμένην · καὶ τὸν μὲν ἀκίνητον, τὸ δὲ ἑτεροκίνητον, τὴν δὲ αὐτοκίνητον (3).

καὶ ὡς αἱ μὲν ἀκρότητες τῶν στοιχείων ἀλύτως συμπληροῦσι τὸν οὐρανόν, αἱ δὲ ὑποστάθμαι τὴν γένεσιν · οὐ γὰρ ἐκ τῶν αὐτῶν πάντα, οὐδὲ ὡσαύτως κεραννύμενα ἀλλήλοις, εἰ καὶ ἐκ τῶν τεσσάρων στοιχείων ὅλα τὰ αἰσθητά (4).

καὶ ὅτι ἱσταμένη ἡ ψυχὴ κατὰ τὸ διανοητικὸν τὸ ἑαυτῆς ἐπιστήμων ἐστὶ τῶν ὄντων · ἐν δὲ τῷ νοερῷ τῆς οἰκείας οὐσίας ἑαυτὴν ἱδρύσασα νοεῖ τὰ ὅλα ταῖς ἁπλαῖς καὶ ἀμερίστοις ἐπιβολαῖς. εἰς δὲ τὸ ἓν ἀναδραμοῦσα καὶ πᾶν τὸ ἑαυτῇ συμπτύξασα πλῆθος

2 *παρὰ* scripsi : *περὶ* B 4 *πρὸ* scripsi : *πρὸς* B 5 *προτουργὰ* B 9 *μὲν* scripsi : *δὲ* B 15 *ὅλα* B : *πάντα* V 19 *εἰς* V : *εἰ* B *ἐν αὐτῇ συμπτ.* V : *ἑαυτῇ ἐμπτύξ.* B

(1) Cf. *Corp. Hermet.* I, 27 (p. 16 N.-F.) *ἤργμαι κηρύσσειν τοῖς ἀνθρώποις τὸ τῆς εὐσεβείας καὶ γνώσεως κάλλος* ; IX, 4 (p. 97 N.-F.) *εὐσέβεια δέ ἐστιν θεοῦ γνῶσις* (Festugière, p. 102, n. 13) ; X, 21 (p. 123 N.-F.) ; Lact. *div. inst.*, II, 15 ; Norden, *Agn. Theos*, p. 87 ss. ; Nock, *Sallustios*, p. xc ; F. Bräuninger, *Untersuchungen zu den Schriften des Herm. Trismeg.*, Diss. Berol. 1926, p. 5 ss. ; Reitzenstein, *Hellen. Myst. Rel.*, p. 284 ss.

(2) Cf. Psell. (*Patr. Gr.* 122), p. 1153 a *ἰδέας δὲ νομίζουσι (οἱ Χαλδαῖοι) νῦν μὲν τὰς τοῦ πατρὸς ἐννοίας, νῦν δὲ τοὺς καθόλου λόγους καὶ φυσικοὺς καὶ ψυχικοὺς καὶ νοητούς · νῦν δὲ τὰς ἐξῃρημένας τῶν ὄντων ὑπάρξεις* ; p. 1149 b ... *τὸν πατρικὸν νοῦν τὸν τὴν αἰτίαν αὐτῶν* (sc. *τῶν ἰύγγων*) *ἑνοειδῶς ἐν ἑαυτῷ προστησάμενον* ; Psell. ap. Bidez, *Cat. alchim. gr.* VI, p. 117 s. ; 132 (*περὶ ἰδεῶν*) ; *Corp. Hermet.* XVII (p. 243 N.-F.) ; Kroll, p. 13, 2 ; Reitzenstein, *Poimandres* p. 199.

(3) Cf. Procl. *Theol. Plat.* I, 12 ss. ; *Inst. theol.* 14 ; 20 (Dodds ad l.) ; *in Tim.* II, p. 46 D. ; p. 129 D.

(4) Cf. Plat. *Phaed.* 109 c ; *Tim.* 32 c ; Procl. *Tim.* II, 56 ; 231 D.

ἐνθεαστικῶς ἐνεργεῖ καὶ συνάπτεται ταῖς ὑπὲρ νοῦν ὑπάρξεσι · τῷ γὰρ ὁμοίῳ πανταχοῦ τὸ ὅμοιον συνάπτεσθαι πέφυκεν (1).

οὐδὲν γὰρ γνωστὸν δι' ἐλάττονος γινώσκεται γνώσεως (2).

ἔστιν γάρ τι νοητόν, ὃ χρή σε νοεῖν νόου ἄνθει (3). διττὸν δέ φησι τὸ ἐν ἡμῖν ἕν · τὸ μὲν τῆς πρωτίστης <ἐν> ἡμῖν τῶν δυνάμεων οἷον ἄνθος, τὸ δὲ τῆς ὅλης οὐσίας κέντρον καὶ τῶν περὶ αὐτὴν παντοίων δυνάμεων · οὐ γάρ ἐσμεν νοῦς μόνον, ἀλλὰ καὶ προσοχὴ καὶ προαίρεσις καὶ διάνοια καὶ δόξα καὶ πρὸ τῶν δυνάμεων τούτων οὐσία μία καὶ πολλὴ καὶ μεριστὴ καὶ ἀμερής.

καὶ ὂν μέν ἐστιν ὁ νοητὸς νοῦς, ὕπαρξις δὲ τὸ νοητόν ( ).

καὶ ὅτι, φησίν, ἡ ψυχὴ περιέχει πολλῶν κόλπων πληρώματα, τουτέστι ζωοποιοὺς δυνάμεις ἀποπληρωτικὰς πολλῶν ὑποδοχῶν τῶν δυναμένων ζωοποιεῖσθαι παρ' αὐτῆς (5).

καὶ ὅτι συνέστηκεν αὕτη ἀπὸ τῶν νοερῶν λόγων καὶ τῶν θείων συμβόλων. καὶ ὥσπερ πάντων ἐστὶ πλήρωμα τῶν εἰδῶν, κατὰ μίαν δὲ ἰδέαν ὑφέστηκεν, οὕτω καὶ πάντων <μὲν> μετέχει τῶν

---

3 γνωστὸν B : γνωστικὸν V 4 ἔστι(ν Dam.) γὰρ B Damasc. : ἔστι δὲ δὴ Ps. p. 1121 : ἔστι Ps. p. 1144 4-7 paulo aliter V 5 ἡμῖν B : ἡμῶν V 7 s. διάν. κ. δ. κ. προσ. κ. προαίρ. V 9 μία τε καὶ V μεριστή τε καὶ ἀμέριστος V 13 δυναμένων scripsi : δυνάμεων B 14 νοερῶν BV : ἱερῶν P (p. 1148 b) 15 πληρωμάτων εἰδ. B 16 ἰδέαν B : αἰτίαν V μὲν V : om. B

---

(1) Cf. Procl., *In Alcib.* p. 247 Cr. ... τὴν νοητὴν οὐσίαν θεασώμεθα ταῖς ἁπλαῖς καὶ ἀμερίστοις ἐπιβολαῖς τὰ ἁπλᾶ ... καὶ ἀμέριστα τῶν ὄντων ἐποπτεύοντες γένη ... ὡς γὰρ νοῦ μετέχομεν κατὰ τὸν εἰρημένον νοῦν οὕτω καὶ τοῦ πρώτου, παρ' οὗ πᾶσιν ἡ γνῶσις κατὰ τὸ ἕν..., καθ' ὃ καὶ μάλιστα τῷ θείῳ συναπτόμεθα. τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον πανταχοῦ καταληπτόν... κατὰ ταύτην (τὴν ἐνέργειαν) ἔνθεοι γενώμεθα πᾶν τὸ πλῆθος φυγόντες... καὶ ἓν γενόμενοι... ; Jahn, p. 27.

(2) Cf. versum qui sequitur ; Damasc. I, p. 154, 1 R. ὥστε καὶ τὸ ἡνωμένον ὑπὸ τῆς ἡνωμένης γινώσκεται γνώσεως ; Jahn, p. 31 s.

(3) Versus traditur a Psello etiam (*Patr. Gr.* 122), p. 1121 ; p. 1144 ; a Damascio, I, p. 154 R. ; cf. Jahn, p. 29 s. ; Kroll, p. 11 ; Theiler, p. 17 ; 29.

(4) Cf. Damasc. I, p. 154, 24 ; II, p. 16, 20 R. ; Procl., *Tim.* III, p. 100 D. ; Dodds, *Proclus, the Elements of Theology*, p. 285 ss. ; Theiler, p. 5.

(5) Respicit ad versum (*Patr. Gr.* 122), p. 1141 d (Kroll, p. 47) καὶ ἔχει πολλῶν πληρώματα κόλπων ; cf. ibid. : τουτέστι ἔχει δυνάμεις ὑποδεκτικὰς τῆς ὅλης διακοσμήσεως · δύναται γὰρ κατὰ τὰς διαφόρους ἀρετὰς εἰς τὰς διαφόρους ζώνας ἐγκατοικεῖν τοῦ οὐρανοῦ.

συνθημάτων δι' ὧν συνάπτεται τῷ θεῷ, ἀφώρισται δὲ ἡ ὕπαρξις αὐτῆς ἐν ἑνί (1).

καὶ ὅτι πᾶσα ψυχὴ πάσης κατ' εἶδος διέστηκεν.

εἰ γὰρ τὸ εἶναι τῆς ψυχῆς λόγος ἐστὶ καὶ εἶδος ἁπλοῦν, ἢ οὐδὲν διοίσει κατ' οὐσίαν ψυχή τις ἄλλης ἢ κατ' εἶδος ἂν διαφέροι.

καὶ ἔστιν ἐν ἑκάστῃ πάντα καθ' ἕν, οἵ τε νοεροὶ λόγοι καὶ τὰ συνθήματα · τὸ γὰρ καθ' ἓν εἶδος πολλῶν [εἶναι] ἀτόμων ὑπόστασις ἑνοειδῶν περί <τε> τὴν ὕλην ἐστὶ καὶ τὰ σύνθετα τῶν ὄντων, τῆς ὑποκειμένης φύσεως ποικίλως τοῦ αὐτοῦ μετεχούσης εἴδους (2).

De opificio mundi

Duo tituli ad varia excerpta a librario in unum contracta spectant. Pars posterior e Iamblicho (*de myst.* 2, 3 s.) sumpta est, et nihil est, quod de ea praemittam. In parte priore, quae est origine ignota, de mente agitur, mundi opifice, de modo opificii, de eo quod interest inter opificem et opificium ; agitur etiam de supramundana anima Phaedro Platonis laudato. Argumentum confusum est non solum quia Psellus fontem nimis mutilavit (cf. lineas decem partis posterioris, quae novem paginis Iamblichi respondent), sed etiam quia Proclus (vel quemvis auctorem exscripsit Psellus) opiniones varias variorum sequitur. E.g. cum mens principium sit illud Aristotelicum immobile, anima est quae in opere procreandi intercedit : i.e. his ei, qui opificii munus menti attribuerunt, reconciliantur cum eis, qui animae. Sed Psellus est, qui argumentum saepius interrumpit, unum esse omnia affirmans vel de divina sapientia disserens : quin auctor eius haec et huiusmodi suo loco de mente divina dixerit, dubium non est.

---

1 τῷ θεῷ B : τοῖς θεοῖς V 3 πάσης BV : ψυχῆς add. P 4 εἰ γὰρ B : ἔπειτα V ἢ Dodds : ἢ V Jahn : ἂν B 5 διαφέρει BV : corr. Dodds 7 εἶναι B : delevi ὑπόστασις V : ἅπασιν B 8 ἑνοειδῶν V : ὁμοειδῶν B τε add. V

---

(1) Cf. supra, p. 107, 5 ; Procl., *In Tim.* I, p. 210 s. D. ἡ εὐχὴ μεγίστη παρέχεται συντέλειαν συμβόλοις ἀρρήτοις τῶν θεῶν, ἃ τῶν ψυχῶν ὁ πατὴρ ἐνέσπειρεν αὐταῖς ... ἑνοῦσα τοὺς εὐχομένους ἐκείνοις πρὸς οὓς εὔχονται, συνάπτουσα δὲ καὶ τὸν τῶν θεῶν νοῦν πρὸς τοὺς τῶν εὐχομένων λόγους κτλ. ; Psell. p. 1148 b ; Jahn, p. 14 ; 45 s. ; Kroll, p. 50 ; Theiler, p. 36.

(2) Cf. Jahn, p. 30, n. 78 ; p. 47, n. 130.

F. 413v. Ἑ λ λ η ν ι κ α ὶ δ ι α τ ά ξ ε ι ς π ε ρ ὶ τ ῆ ς θ ε ί α ς δ η μ ι ο υ ρ γ ί α ς · κ α ὶ δ ι α φ ο ρ α ὶ ἰ δ ι ω μ ά τ ω ν τ ῶ ν κ ρ ε ι τ τ ό ν ω ν γ ε ν ῶ ν.

Νοῦν ποιητὴν τοῦ παντὸς Ἕλληνες τίθενται· διὰ τοῦ τῶν εἰδῶν κόσμου καὶ τῆς ψυχῆς καὶ τοῦ μεμεριμνημένου σοι νοῦ πάντα δημιουργοῦνται· τοῦτον δὲ καὶ ἐνεργείᾳ νοῦν ἀποφαίνονται αὐτὰ τὰ νοητὰ εἴδη ὑπάρχοντα. ὁ δὲ τρόπος τῆς δημιουργίας αὐτῆς διττός, ἀπὸ τῶν ἀΰλων εἰδῶν ἐπὶ τὰ ἔνυλα εἴδη διὰ μέσων ἑτέρων εἰδῶν καὶ μέσων δυνάμεων προιὼν καὶ πάλιν ἐπὶ τὰς ἀΰλους ἰδέας ἐπανερχόμενος. καὶ ἔστι παρὰ τοῖς σοφοῖς τῶν Ἑλλήνων λόγος τοιοῦτος, ὅτι ἥ τε ὄντως οὐσία καὶ ἡ θεία δημιουργία πάντα ἐξεργάζονται, ὅσα περὶ τὴν γένεσιν ἐν τῷ κόσμῳ καὶ ὅσα πρὸ τῆς γενέσεως ὑφέστηκεν ἐν τοῖς ἀεὶ κινουμένοις σώμασι. καὶ πάντων μεταδιδόασι τοῖς οὖσι μηδαμοῦ κινούμεναι καὶ πάντα γινώσκουσι καὶ πάντα διοικοῦσι, πᾶσί τε χρῶνται τοῖς οὖσι καὶ πάντων προΐστανται μηδ' ὁτιοῦν ἀπ' αὐτῶν πάσχουσαι. καὶ ἐν τῷ δημιουργεῖν τὰ γιγνόμενα οὐκ ἀναπίμπλαται, φασί, τῆς τῶν μεταβαλλομένων ἀσθενείας ἡ ἄυλος αὐτῶν αἰτία, μένουσα δὲ ἀμέριστος καὶ νοερὰ καὶ ἀγέννητος δημιουργεῖ τὰ ὑπεναντίως πρὸς ἑαυτὴν ἔχοντα. οὐκ ἀπόβλητον δέ φασι τὴν φύσιν καὶ τὰς φυσικὰς αἰτίας καὶ κινήσεις ὑπηρετεῖν τῷ δημιουργῷ πρὸς τὰς τῶν αἰσθητῶν ἀπεργασίας. αὐτὰς μὲν αὐτουργίᾳ χρωμένας ὁμοφυεῖ πρὸς τὰ ἀποτελούμενα, τῷ δὲ πάντων αἰτίῳ τὸ μένειν ἐν τοῖς οἰκείοις πάθεσιν ἀμετακινήτως παρεχομένας. ποιεῖν γὰρ καὶ πάσχειν εἰς ἄλληλα πέφυκε τὰ συγγενῆ καὶ τὰ τῆς αὐτῆς ὄντα φύσεως καὶ περὶ μίαν ὕλην ὑφιστάμενα. ὧν πάντων ἡ τοῦ θεοῦ δημιουργία προέχουσα οὐ παραδέχεταί τινα παρ' αὐτῶν ποιήματος ἐπιπλοκὴν ἢ παθήματος. ἡνωμένη γὰρ ἡ θεία δημιουργία τυγχάνουσα καὶ διὰ ταὐτότητος πάντως δημιουργοῦσα δι' εἰδῶν ἀΰλων καὶ νοητῶν καὶ διὰ μόνης τῆς νοερᾶς ἐνεργείας ἱκανῶς πάντα παράγει δραστηρίους ἔχουσα καὶ μονίμους τὰς νοήσεις, οὐδὲ ἑτέρου προσδεῖται εἴς τε δημιουργίαν καὶ τῶν ὄντων ὑπόστασιν. [[καὶ ἠρεμίαν]] οὖν ἐπ' αὐτῆς ληπτέον καὶ

---

2 pars tituli posterior ad excerptum e Iamblicho (p. 114, 16 ss.) spectat 4 Plot. V, 9, 3 ; Porphr. *ap.* Procl., *Tim.*, I, p. 306, 22 D. ; Procl., *Inst. theol.* 174 (cf. Dodds ad l.) 7 Procl., *Inst. theol.*, 34 12 post ὅσα] τὰ cod. : delevi 16 cf. Iambl., *de myst.* I, 8 31 οὐδὲν cod. 32 κ. ἠ. cod. : seclusi cf. Aristot. *Metaph.*, XI, 7, p. 1072 b 7 ; Procl., *Inst. theol.* 20 (Dodds ad l.).

τὸ ἠρεμοῦν ὅτι διὰ τὸ πλῆρες καὶ τέλειον οὐ δεῖται τοῦ κινεῖσθαι οὐδὲ τοῦ ἐξίστασθαι ἀφ' ἑαυτῆς. διὰ δὲ τῶν ὑποδεχομένων συμμετρίαν καὶ ἐπιτηδειότητα καθ' ἕκαστον μέρος ἄλλας ἀλλαχοῦ προβάλλει τὰς δημιουργίας, πολλὰς δὲ αἰτίας περιέχουσα ἐν ἑαυτῇ πολὺ πλείονος ἔχει ἐξηρτημένας ἀφ' ἑαυτῆς δυνάμεις. τὸ μέντοι γε τῆς ζωῆς γένος αὐτὸ καθ' ἑαυτὸ ἐν τῷ ὄντως ὄντι ἐστί. μετὰ γὰρ τῆς ἐνεργείας πρώτως μὲν ἡ ζωὴ ὑφέστηκεν ὡς ταὐτὸν οὖσα τῇ ἐνεργείᾳ, ἔπειτα καὶ ἡ οὐσία κατ' αὐτὴν τελειοῦται καὶ ἐν ἀλλήλοις ταῦτα κατὰ μίαν ἕστηκεν ἐνεργείαν. τὴν δημιουργικὴν γὰρ αἰτίαν ἀναιρεῖ ὁ μὴ φρόνησιν καὶ ζωὴν ἐν τοῖς ἀσωμάτοις τιθέμενος. ἐν γὰρ τῷ ζῆν, φασίν, νοερῶς ἔχει ὁ καθ' ἑαυτὸν νοῦς τὸ εἶναι· ἄλλο τε εἶδος ζωῆς ἐστιν ἐν τῷ νῷ τὸ κατὰ τὴν πρόοδον ὑφιστάμενον.

Π λ ά τ ω ν ο ς δέ ἐστι λόγος ὡς ἡ καθαρὰ καὶ ἄυλος καὶ ὑπερουράνιος ψυχὴ συμπέφυκε τοῖς νοητοῖς καὶ ἔχει τὰ νοητὰ ἐνιδρύμενα ἐν ἑαυτῇ. κίνησιν δὲ τοῦ νοῦ τὴν ἐνέργειαν λέγουσι, φασὶ δὲ καὶ ψυχὴν ἔχειν τὴν θείαν ποίησιν ὑπηρετοῦσαν αὐτῇ καὶ παραδεχομένην αὐτῆς τὰς ποιήσεις συνηρτημένας τε πρὸς αὐτὴν ὥσπερ ὄργανον σύμφυτον καὶ ἀναπλοῦσαν αὐτῆς τὰ εἴδη καὶ ἀνελίττουσαν καὶ προάγουσαν εἰς τὸ ἐμφανὲς καὶ προδεικνύουσαν πᾶσι λόγοις τε μέσοις καὶ ἀΰλοις διαπορεύουσαν ἀπὸ τῶν νοητῶν εἰδῶν ἐπὶ τὰ αἰσθητὰ τὴν ζωήν. κίνησιν δὲ νοοῦσιν ἐν τῷ θεῷ τὴν αἰτίαν πάσης κινήσεως καὶ δι' ἑτερότητος πρόοδον καὶ τὴν βούλησιν τοῦ πολλὰ γενέσθαι παραπλήσια ἑαυτῷ καὶ τὴν ἐπίδοσιν ἑαυτοῦ τὴν εἰς τὸ πλῆθος καὶ τὴν σύναξιν καὶ τὴν ἔκβασιν τῶν ἔνδον ἐν ἑαυτῷ κρυπτομένων καὶ συνεσπειραμένων ἀγαθῶν. ἑτέραν δὲ εἶναι λέγουσι τῆς οὐσίας τὴν κίνησιν. ἕν τε καὶ πολλά φασι τὰ νοητά, χωρίς τε ταῦτα καὶ ἅμα, πάντα ἕν. τούτοις δὲ καὶ τῇ κινήσει ἡ στάσις συνῆπται καὶ ἡ χωριστὴ τούτων πάντων ἰδέα. μία ἐστὶ καὶ ἡ δημιουργία, ταὐτότητες καὶ ἑτερότητες. πάντα ἀποτελεῖ καὶ συμπλέκει τὸ ὂν τῷ μὴ ὄντι πως ἐν ταῖς ποιήσεσι. καὶ πρῶτα μὲν

---

5 ἀφ' scripsi : φ' cod. 7 Arist., *Eth. Nicom.* X, 4, p. 1175 a 10 11 Procl., *Inst. theol.* 103 τῷ scripsi : τὸ cod. ἑαυτὸ cod. ἄλλω cod. 13 Plat., *Phaedr.* 247 c ; Procl., *Tim.*, II, p. 105, 16 ; 143, 21 D. ; Dodds, *l.c.*, p. 284 15 Arist., *Metaph.*, XI, 7, p. 1072 b 27 17 συνηρτημένων cod. Procl., *In Eucl.*, p. 4 Fr. 18 αὐτοῦ cod. 20 διαπορεύουσα cod. 21 Iambl., *de myst.*, I, 5 25 συνεπειρ. cod. Procl. *In Cratyl.*, p. 54 5 P. ἕτερα cod. 26 Plat., *Soph.* 242 c ; *Phileb.* 16 c ; *Parm.* 130 b, etc. (Norden, *Agn. Theos*, p. 247 ; Theiler, *Vorbereitung d. Neuplat.*, p. 127 ; Herm. Trism., II, p. 358, 15 N.-F.) 30 τῷ μὴ ὂν cod.

ποιεῖται τὰ καθ' ἑαυτὰ ὄντα, ἔπειτα τὰ ἐν τοῖς εἴδεσιν ἀφωρισμένα καὶ ἐν τῷ δημιουργεῖν. ἡ θεία δημιουργία οὐδ' ὅλως αἰσθητὴν διάγνωσιν δέχεται, οὐδὲ τὴν διὰ στόματος ἐχομένην γνῶσιν, ἀλλ' ἀμέριστος καὶ ὅλως κατ' ἐνέργειαν ἕστηκεν ἐν τοῖς ἰδίοις τῆς νοήσεως ἡνωμένοις εἴδεσι. τὸ μέντοι γε ὂν καθ' ἑαυτό ἐστιν ἀσωμάτως ἀμέριστον καὶ ζῶν καὶ κατὰ τὰς παντοδαπὰς μετουσίας αὐτοῦ ἀπολύτως προυφεστηκὸς ἐπὶ πᾶσι. τὴν μὲν ἀφανῆ δημιουργίαν ἡ θύραθεν τίθεται, τὴν δὲ ἐμφανῆ, καὶ τῆς ἐμφανοῦς τὴν μὲν τῶν ἀκινήτων οὐσιῶν, τὴν δὲ ἐν οἷς ἐστι γένεσις καὶ μεταβολή. δυσθήρατα δέ φασι τὰ θεῖα καὶ ἄγνωστα παντάπασι διά τε τὴν τῆς οὐσίας ὑπεροχὴν καὶ τὴν ἡμετέραν τῆς γνώσεως μεμερισμένην περὶ ταῦτα ἐπιβολήν. καὶ ἐν μὲν τῷ νοητῷ οὐδέν ἐστιν ἐν †ποιῶ† ἀλλὰ πάντα ἐν τῷ εἶναι, ἐν δὲ τοῖς συνθέτοις ἡμῖν πολλὴ ἡ κατὰ ταῦτα πάντα διαίρεσις θεωρεῖται. ταῦτα μὲν οὖν οὕτω δοξάζουσι.

Περὶ δὲ ἰδιωμάτων τῶν θείων γενῶν (ἐζήτησας γὰρ καὶ περὶ τούτων) τάδε σοι ἀπὸ τῶν ἀκριβωσάντων γνωρίζομεν · ὡς τὰ μὲν τῶν θειοτέρων φαινόμενα θεάματα μονοειδῆ καὶ κάλλος ἀμήχανον ἔχοντα καὶ θεσπεσίαν τὴν εὐφροσύνην, τὰ δὲ τῶν ἀρχαγγέλων οὐ τοιαῦτα μέν, ὅμοια δέ, βλοσυρὰ γὰρ καὶ ἥμερα · τὰ δὲ τῶν ἀγγέλων πραότερα, τὰ δὲ τῶν δαιμόνων φοβερὰ καὶ δειμαίνοντα, τὰ δὲ τῶν ψυχῶν σκιοειδῆ καταφαίνεται. δαίμονες θολῶδες διαφαίνουσι τὸ πῦρ καὶ τὸ μὲν τοῦ θεοῦ φῶς ἀπάστραπτόν ἐστι καὶ σταθερόν, τὸ δὲ τῶν ἀρχαγγέλων ἤρεμον, τὸ δὲ τῶν ἀγγέλων μονίμως κινούμενον, τὸ δὲ τῶν δαιμόνων ἄστατον καὶ ὀξύρροπον.

De daemonibus

Psellus sex genera daemonum enumerat (p. 115, 9 - 116, 20) et describit (p. 118, 1 - 119, 11 : hic *τοὺς νοεροὺς δαίμονας* omittens, *λογικοὺς* appellans *ψυχικούς*), quaedam de eorum forma (p. 116, 21 - 117, 4 ; 117, 16-19), de animis in vitam regredientibus (p. 117,5 - 15) inserit, opinionem, quae daemones nuntios deorum hominumque (i.e. *ἀγγέλους*) esse affirmat, subicit (p. 119, 12 - 120, 8). Dubias in his quaes-

---

2 Plat., *Parm.*, 134 c ; Procl. *In Tim.*, I, p. 351, 20 D. ; *Inst. theol.*, 134. 7 *ἀπόλυται* cod. 8 *ἡ θυρ.*] scil. *φιλοσοφία* (= pagana) 9 post *τῶν*] *μὲν* cod. : delevi 10-12 ad argumentum ll. 2-7 spectare videntur 16 incipit excerptum e Iambl. *myst.*, II, 3 s. ; vide partem posteriorem tituli 22 *σκιειδῆ* cod.

tiones nonnullas disputat : utrum praeter bonos mali quoque daemones exstent ; utrum mortales an immortales, corporei an incorporei sint ; utrum cibo vescantur an non. Quae doctrina e Platonicis fundamentis erecta (cf. p. 116, 10 ; 12 ; 18 ; 118, 11 ; 119, 13 ; 120, 4), imprimis e Proclo (e.g. *Alcib.* p. 381 ss. Cous.) et Olympiodoro (e.g. *Alcib.* p. 17 ss. Cr.) nobis nota est. Psellus ipse saepius de his rebus scripsit, Proclum, ut coniecit Bidez, secutus : *Περὶ ἐνεργείας δαιμόνων* (*de operatione daemonum* : *Patr. Gr.* 122, p. 820 ss.) et *Τίνα περὶ δαιμόνων δοξάζουσιν Ἕλληνες* (*Quaenam sunt Graecorum opiniones de daemonibus* : *Patr. Gr.* 122, p. 876 ss.), et alia excerpta, quae ediderunt Ruelle, *R.E.G.*, XIII, 1879, p. 265 et Bidez, *Cat. alchim. gr.* VI, 1928, p. 119 ss. — Ad rem cf. Cumont, *Relig. orient.*[4], p. 280 s. ; Andres, *RE. Suppl.* III, p. 319 ss. ; K. Svoboda, *La démonologie de Michel Psellos*, 1927, passim ; Bidez, *l.c.*, p. 97 ss. ; 223 ss. ; Bidez-Cumont, *Les Mages hellénisés*, II, p. 275 ss.

F. 414. *Ἑλληνικαὶ διατάξεις περὶ δαιμόνων.*

Ὁ μὲν καθ' ἡμᾶς λόγος, ἀδελφὲ λογιώτατε, τὴν ἀγγελικὴν τάξιν τιθεὶς τὰ πρῶτα, τοὺς δαίμονας ὕστερον, διολισθῆσαι τούτους τῆς πρὸς θεὸν νεύσεως προαιρετικοῖς ἀποπτώμασιν ἀποφαίνεται καὶ πάντη κακὸν τοῦ κρείττονος ἀνταλλάξασθαι. ὁ δέ γε Ἑλληνικὸς λόγος οὔ φησι δαίμονα οὐδένα κακόν, ἀλλὰ διαιρέσεις μὲν αὐτῶν ποιεῖται πολλάς, ἕκαστον δὲ ἐξ ἀιδίου τάττει ἐπὶ τῆς δεδομένης πᾶσι παρὰ τῆς προνοίας ἐξουσίας καὶ τάξεως (1). *καὶ ἔστι παρ' αὐτοῖς ὁ μὲν δαίμων θεῖος* (2) *ζῷον ἀπὸ <θείας>*

2-3 *τῆς ἀγγελικῆς τάξεως τεθεὶς* cod. 6 *οὗ* cod. 7 s. *τοῖς δεδομένοις* cod. : corr. Dodds 8 *παρὰ* Dodds : *περὶ* cod. 9 addidi (cf. p. 116, 11)

---

(1) Cf. Psell., *Expos. orac. Chald.* (*Patr. Gr.* 122, p. 1148 c) *ὁ μὲν Χαλδαῖός τινας μὲν δαιμόνων ἀγαθούς, τινὰς δὲ κακοὺς τίθεται · ὁ δὲ ἡμέτερος εὐσεβὴς λόγος πάντας κακοὺς ὁρίζεται, ἐκ προαιρετικῶν ἀποπτωμάτων τὴν κακίαν ἀνταλλαξαμένους τῆς ἀγαθότητος* ; id., *de daemonibus* 1 (ibid., p. 875).

(2) Sex genera daemonum quae sequuntur alibi more Pythagorico explicantur, Psell. (ed. Bidez, p.122) *ἓξ καθόλου ἐκεῖνος ἔλεγεν εἶναι τὰ δαιμόνων γένη, οὐκ οἶδ' εἴτε τοῖς τόποις συνδιαιρῶν ἐν οἷς διατρίβουσι εἴτε τὸ φιλοσώματον εἶναι τὸ δαιμόνιον ἅπαν γένος, εἶναι δὲ καὶ τὴν ἑξάδα σωματικὴν καὶ ἐγκόσμιον · ἐν αὐτῇ γάρ εἰσιν αἱ σωματικαὶ περιστάσεις καὶ ὁ κόσμος κατ' αὐτὴν συνέστη...* ; Olympiod., *In Alcib.*, p. 17 Cr. ; cf.

οὐσίας ἀρχόμενον, ἀίδιον τὴν αὐτὴν κατὰ φύσιν ἔχον ζωὴν κατὰ νοῦν ἀφοριζομένην · ὁ δὲ νοερὸς ζῷον ἀίδιον τὴν αὐτὴν κατὰ φύσιν ἔχον ζωὴν κατὰ νοῦν καὶ λόγον ἐνεργουμένην · ὁ δὲ ψυχικὸς κατὰ λόγον ἀφοριζόμενος καὶ ψυχῶν μεριστῶν ἐπιμελούμενος · ὁ δὲ φυσικὸς κατὰ λόγον μὲν ἀφοριζόμενος, προσεχῶς δὲ τῆς φύσεως προιστάμενος · ὁ δὲ σωματικὸς κατὰ λόγον καὶ ἀλογίαν ἀφοριζόμενος καὶ τῶν φυσικῶν σωμάτων κατάρχων · ὁ δὲ ὑλαῖος ζῷον ἀίδιον τὴν αὐτὴν ἔχων κατὰ φύσιν ζωὴν κατὰ ἀλογίαν ὑφισταμένην.

φασὶ δὲ τοὺς δαίμονας ὑπηρετικοὺς εἶναι βουλήσεως τῶν κρειττόνων, χαίροντας δὲ ποικίλαις ἐνεργείαις. καὶ γὰρ <τὸ> ἀμέριστον τῆς θείας οὐσίας μεριζομένους [1] *οὔτε θνητούς φασι τοὺς δαίμονας οὔτε ἀθανάτους* [2]*, ἀλλὰ διορίζουσι τὸ ἀθάνατον εἴς τε τὸ ἄσβεστον ἔχον ζωὴν <καὶ> εἰς τὸ χορηγοῦν ἑαυτῷ τὴν ἀθανασίαν* [3]*, ὅπερ δὴ καὶ καλοῦσι κυρίως ἀθανασίαν. ἐφ' οἷς οὐ τιθέασι τοὺς δαίμονας, ἀλλὰ μόνην ἀπέραντον ἔχειν τὴν ζωὴν διατάττονται, ὡς δέον. οὔτε πάντη σωματικὸν τὸ γένος τοῦτό φασιν* [4]*, οὔτε πάντη ἀσώματον, ἀλλὰ σωματοειδές · οἷον σώματα προσηρτημένον σκιοειδῆ καὶ λεπτὰ καὶ ἀνθρωπίνοις ὀφθαλμοῖς ἄληπτα* [5]*.*

αἱ μὲν οὖν ψυχαὶ τῶν δαιμόνων τοιαύτας ἔχουσιν αὐτοῖς διαφοράς, οἵας εἰρήκαμεν, θείας, νοεράς, λογικάς, φυσικάς, σωματικάς, ὑλαίας. ποικίλας δὲ ἔχουσι καὶ τὰς σωματικὰς μορφάς. καὶ τὰ μὲν αὐτῶν (φημὶ δὴ τῶν προσηρτημένων αὐτοῖς σωμάτων) εἶναί φασι

---

7 *δὲ* scripsi : *δαί* cod. 8 *ἴδιον* cod. 10 *τὸ* addidi 13 *καὶ* addidi 15 *μόνη* cod. 17 *προσηρτημένων* cod. 22 *αὐτοῖς* scripsi : *αὐτῶν* cod.

---

etiam Olymp., *In Phaed.*, p. 189 N. ; Procl., *In Alcib.*, p. 381 Cous. ; Bidez, l.c., p. 99 s. ; 224 ; Svoboda, l.c., p. 7 ss. ; Delatte, *Mél. Bidez*, p. 222 s.

(1) Plat., *Tim.* 35 a *τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριστῆς τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο οὐσίας εἶδος ...* ; Svoboda p. 35.

(2) Plat., *Tim.*, 41 b : *δι' ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ ... οὐδὲ τεύξεσθε θανάτου μοίρας...*

(3) Procl., *In Tim.*, III, p. 215 D. *τὸ ἀθάνατον λέγεται ... τὸ ἑαυτῷ χορηγὸν τῆς ἀθανασίας ...* ; cf. p. 216 et doctrinam Aristotelicam (frg. 679 R. ; cf. Mart. Cap. II, 167) ad longaevorum choros spectantem.

(4) Psell. (*Patr. Gr.* 122), p. 836 b : *ἀλλ' οὐκ ἀσώματον... τὸ δαιμόνιόν ἐστι φῦλον...* ; Delatte, *Mél. Bidez*, p. 214 s.

(5) Plat., *Phaed.* 81 d : *... καὶ ὤφθη ἄττα ψυχῶν σκιοειδῆ φαντάσματα...* ; cf. Bidez-Cumont, *Les Mages hellénisés*, II, p. 277, n. 5.

σφαιροειδῆ, τοῖς θείοις παραπλήσια σώμασι, λεπτότερα μὲν τῶν γηίνων σωμάτων, ἀμαυρότερα δὲ τῶν οὐρανίων ἐλλάμψεων [1] *· τὰ δὲ καὶ εὐθύπορα καὶ πολυειδῆ τοῖς σχήμασι, τὰ δὲ καὶ καθ' ἕλικα κινούμενα καὶ λοξῶς φερόμενα.*

εἶναι δὲ πάντα ἀνεπιδεᾶ τροφῆς · τὰ γὰρ τρεφόμενα τοῖς ἀτμοῖς ψυχῶν λέγουσιν εἶναι δαιμονίων καὶ οὐ τῶν κατ' οὐσίαν δαιμόνων, ἀλλὰ τῶν κατὰ σχέσιν [2]*. εἰσὶ γάρ, φασί, καὶ ψυχῶν ἀγέλαι δαιμονίων μετατασσομένων ἀπὸ ἄλλης φύσεως εἰς ἄλλην καὶ οὐσῶν ἔν τε ἄερι καὶ ὕδατι, ὧν τὰ ὀχήματα δεῖται τροφῆς, ὧν καὶ οἱ θάνατοι τῶν δαιμονίων καὶ αἱ μίξεις πολλάκις αἱ πρὸς τὰ ἀνθρώπινα σώματα καὶ αἱ κοινωνίαι τῶν γεννήσεων* [3] *· καὶ εἴτε †νύμφη† τινὲς γυναιξίν, εἴτε νύμφαι ἀνδράσιν ὡμίλησαν, εἴτε καὶ Νηρηίδες ἀνέδυσαν τῆς θαλάσσης* [4]*, οὔτε θεῖον τοῦτο τὸ γένος, οὔτε ὡς ἀληθῶς δαιμόνιον, ἀλλὰ δαιμονίων ψυχῶν εἰς γένεσιν ἐρχομένων καὶ τροφῆς ἐπιδεῶν καὶ ὅλως σπορᾶς κοινωνεῖν δυναμένων.*

οἱ δὲ φαινόμενοι λεοντοπρόσωποι δαίμονες [5] *οὐκ ἐκ σαρκῶν σύγκεινται καὶ ὀστῶν, ἀλλὰ τὸ σῶμα τοῦ δαίμονος ἐσχημάτισται τὸν τρόπον τοῦτον οἷον σκιαγραφίαν λέοντος φέρων διά τινων ἀερίων καὶ πυρίων ὄγκων.*

---

9 *δεῖσθαι* cod. 11 non est *νύμφιοι* (neque *νύμφοι*) quod expectaverim sed *Πᾶνες* vel sim. 12 *γυνάξιν* cod. *Νηριίδες* cod. 13 *ἀναδῦσαι* cod. (malim *ὁμιλοῦσιν ... ἀναδύονται*) 15 *καὶ* (prius) scripsi : *ὁ* cod. 17 *ὀστῶν* scripsi : *ἱστῶν* cod.

---

(1) Plat., *Tim.* 40 a ; Procl., *Tim.* III, p. 80 D. : *τὸ σχῆμα τῆς ἕλικος... τὴν μεσότητα συμπληροῖ τῶν τε εὐθυπορουμένων καὶ τῶν κυκλοφορουμένων σωμάτων · κύκλος μὲν γὰρ ... μόνον ἐπὶ τῆς ἀπλανοῦς, εὐθεῖα δὲ ἐπὶ τῆς γενέσεως, ἡ δὲ ἕλιξ ἐπὶ τῶν πλανωμένων.* Procl., *In Cratyl.*, p. 35, 22 P. : *τῶν δὲ δαιμόνων οἱ μὲν ἀγαθοὶ καὶ θεῖοι σφαιρικὰ ἔχουσι τὰ ὀχήματα, οἱ δὲ ὑλαῖοι καὶ εὐθύπορα* ; Svoboda, p. 20.

(2) Olymp., *In Alcib.* p. 15 Cr. : *τρεῖς εἰσι διαφοραὶ δαιμόνων · τῶν γὰρ δαιμόνων οἱ μὲν κατ' ἀναλογίαν, οἱ δὲ κατ' οὐσίαν, οἱ δὲ κατὰ σχέσιν.*

(3) Plat., *Cratyl.*, 398 d : *πάντες (ἥρωες) γεγόνασιν ἐρασθέντος ἢ θεοῦ θνητῆς ἢ θνητοῦ θεᾶς.*

(4) Porph., *Antr. nymph.* 12 : *ναίδες οὖν νύμφαι αἱ εἰς γένεσιν ἰοῦσαι ψυχαί* ; Psell. (*Patr. Gr.* 122) p. 865 ab *ὅσοι μὲν γὰρ ἐν ὑγροῖς βιοῦσι καὶ τὴν μαλθακωτέραν στέργουσιν ἀγωγήν, ὄρνισί τε καὶ γυναιξὶν ἐμφερεῖς ἑαυτοὺς ποιοῦσι · διὸ καὶ Ναίδας τούτους καὶ Νηρηίδας τε καὶ Δρυάδας θηλυκῶς καλοῦσιν Ἑλλήνων παῖδες...* ; Svoboda, p. 21 ; Cumont, *Lux Perpetua*, p. 325 s.

(5) Heracl., *Alleg. Hom.* 66 : *διὰ μὲν οὖν τοῦ λέοντος ἐμπύρου ζώου, τὸν*

αἱ δὲ γενόμεναι ἐπικλήσεις τοῖς σωματικοῖς προσάγονται δαίμοσι· προεστήκασι γὰρ οὗτοι ζῴων τε καὶ φυτῶν καὶ τῶν ἐν τούτοις μερῶν οἷον ὀφθαλμοῦ, καρδίας, ἥπατος. ὑλαίους δέ φασι δαίμονας τοὺς πάθεσι μὲν ἔχοντας ὅλην ὑποκειμένην τὴν ζωήν, χαίροντας δὲ τῇ ἀταξίᾳ τῆς ὕλης, ἣν εἶναι δοκεῖ καὶ αὐτὴν τοιαύτην, ὡς ἂν ᾖ μὴ γένεσις μόνον, ἀλλὰ καὶ φθορὰ τῶν γενομένων. οὐ μέντοι τὸ πάθος παρὰ φύσιν ἔχειν αὐτοὺς λέγουσιν ὡς ἡμεῖς †(οἷον τὸ εἶναι κατὰ λόγον)†, ἀλλ' ὡς τοῖς λέουσιν ὁ θυμὸς κατὰ φύσιν (1). *ἀπὸ δὲ τῶν ψυχικῶν δαιμόνων οἱ κλιματάρχαι δαίμονές* (2) *εἰσι καὶ οἱ τῶν πόλεων προστάται κ·ὶ οἱ τῶν οἴκων καὶ οἱ τῶν καθ' ἕκαστον ψυχῶν, οὓς :αλοῦσι τοὺς εἰληχότας ἡμᾶς δαίμονας* (3). *τοὺς δὲ φυσικοὺς δαίμονας τὸν δεσμόν φασι συνέχειν τῶν τε θείων φύσεων καὶ τῶν γενεσιουργῶν, οὓς καὶ ἐπικαλεῖσθαι*

---

2 *ζῶν* cod. 4 *ὅλον* cod. 8 *οἷος* cod. *λέγουσιν* cod. : corr. Dodds 11 *ἕκαστα* cod.

αἰθέρα δηλοῖ (sc. Od. 4, 456) ; Procl., *π. ἱερατικῆς τέχνης* ap. Bidez, l.c., p. 150, 12 : *διὸ καὶ ἄγγελοί τινες ἡλιακοὶ ὤφθησαν τοιαύτας ἔχοντες μορφάς* (sc. *ἀλεκτρυόνος*), *καὶ ὄντες ἀμόρφωτοι, φαίνονται τοῖς ἐν μορφῇ κατεχομένοις ἡμῖν μεμορφωμένοι. ἤδη δέ τινα τῶν ἡλιακῶν δαιμόνων λεοντοπρόσωπον φαινόμενον, ἀλεκτρυόνος δειχθέντος, ἀφανῆ γενέσθαι φασίν...* ; Psell., l.c., p. 861 c : ... *ἕκαστός γε αὐτῶν τό τε σῶμα πρὸς ὃ ἂν αἱροῖτο σχῆμα μετατυπώσας καὶ χρώματός τινος εἶδος πρὸς τὸ τοῦ σώματος ἐξανίσχων πέρας, ποτὲ μὲν ὡς ἀνὴρ ἐμφανίζεται, ποτὲ δὲ πρὸς γυναίου μεταβάλλει μορφήν, ὡς λέων τε θυμοῦται καὶ ὡς πάρδαλις ἅλλεται καὶ σῦς ὥσπερ ἄγριος ἐφορμᾷ* ... ; p. 876 c ; cf. *Pap. mag. Paris.* 2112 (I, p. 136 Pr.) ; Dieterich, *Abraxas*, p. 52 s. ; Eitrem, *R.E.*, VI A, 909 ; Delatte, *Mél. Bidez*, p. 220 s. ; Cumont, *Symbolisme funéraire* p. 157 ss.

(1) Psell., l.c., p. 876 s. : *τὸν δὲ θυμὸν τούτοις καὶ τὴν ἀναίδειαν κατὰ φύσιν διδόασιν, ὡς τοῖς παρδάλεσι καὶ τοῖς λέουσι* ...

(2) Procl., *In Cratyl.*, p. 25 P. : *οὐ δεῖ τοὺς Ἕλληνας Αἰγυπτίοις ὀνόμασι χρῆσθαι θεῶν ... · χαίρουσι γὰρ οἱ κλιματάρχαι ταῖς τῶν οἰκείων χωρῶν διαλέκτοις ὀνομαζόμενοι* ; Olymp., *In Alcib.*, p. 20 Cr. : *τῶν δὲ χθονίων οἱ μὲν εἰσι κλιματάρχαι, οἱ δὲ πολιοῦχοι, οἱ δὲ κατοικίδιοι* ; Psell. (*Patr. Gr.* 122), p. 876 c ; Svoboda, p. 11.

(3) Plat., *Phaed.* 107 d : *λέγεται δὲ οὕτως, ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων, ὅσπερ ζῶντα εἰλήχει, οὗτος ἄγειν ἐπιχειρεῖ εἰς δή τινα τόπον...* ; *rep.*. X, 620 d : ... *ἐκείνην* (Lachesis) *δ' ἑκάστῳ ὃν εἵλετο δαίμονα τοῦτον φύλακα συμπέμπειν...* ; Plot., *Enn.*, 3, 4)« *περὶ τοῦ εἰληχότος ἡμᾶς δαίμονος* ») ; Procl., *In Alcib.* p., 41 ; 67 ; 71 Cr. (= p. 377 Cous.) ; Hermias, *In Phaedr.* p. 66 Couvr. ; Cumont, *Lux Perpetua*, p. 300.

νόμος τοῖς πόας τινὰς ἀναιρουμένοις ἢ ἄλλ' ἄττα ζῷα καὶ φυτὰ λαμβάνουσι πρὸς θεραπείας τῶν κρειττόνων ἢ σωμάτων ἐπιμελείας (1). *οἱ δὲ τελευταῖοι, φασί, καὶ ὑλαῖοι δαίμονες τὴν τῶν θείων σωμάτων ὕλην καὶ τὴν τῶν χθονίων καὶ γεννητῶν συνδέουσι τὸ ἀσθενὲς αὐτῆς τοῖς ἰνδάλμασι τοῖς τῶν κρειττόνων παραμυθούμενοι· ἀφ' ὧν εἰσιν οἱ ἐναλλόμενοι ταῖς ψυχαῖς καὶ τὰ πάθη τὰ ἐν αὐταῖς ἀνεγείροντες, ἵνα τὴν ὕλην ἀσπάζωνται καὶ πεσούσας αὐτὰς αἰκιζόμενοι* (2). *εἰσὶ δέ, φασί, <οἱ> θεῖοι δαίμονες καὶ ἐν γῇ καὶ ἐν τῷ ἀέρι, προστάται τῶν ἐκεῖ ζῴων, καὶ <ἐν> ὕδατι, διὰ πάντων τῶν ὑπὸ σελήνην διήκοντες· ἀέριοί τε καὶ χθόνιοι καὶ ἔνυδροι* (3).

καὶ ὅλως τὴν μεσότητα τῶν δαιμόνων ἀφορίζοντες οἱ παρ' Ἕλλησι σοφοὶ μεταξύ φασι εἶναι πᾶν τὸ δαιμόνιον θείου καὶ θνητοῦ (4). *μάλιστα δέ φασι τὴν δύναμιν χαρακτηρίζειν τὴν μεσότητα τὴν δαιμονίαν καὶ ἐκ τούτου δεῖν θηρᾶν τὴν νοητὴν αὐτοῦ αἰτίαν.*

---

1 *ἀλλάττει* cod. : corr. Dodds 6 *ἐναλόμενοι* cod. 8 *οἱ* addidi *καὶ ἐν γῇ θεῖοι δαίμ.* cod. : transposui *θεῖοι*] malim *ὑλαῖοι* 9 *ἐν* addidi *ὕδατι* scripsi : *ὑλαῖοι* cod. 10 *τῶν* scripsi : *τὴν* cod. *διήκονες* cod. 12 *ἀφορίζονες* cod. 14 *χαρακτηρίζει* cod. 15 *δεῖν* scripsi : *δὴ* cod.

---

(1) Iambl., *Myst.*, V, 24 : *εἴτε οὖν ζῷά τινα εἴτε φυτὰ εἴτε ἄλλα τῶν ἐπὶ γῆς διακυβερνᾶται ἀπὸ τῶν κρειττόνων, ὁμοῦ τῆς ἐπιστασίας αὐτῶν μετείληχε καὶ τὴν κοινωνίαν ἡμῖν προξενεῖ πρὸς αὐτοὺς ἀδιαίρετον* ; Psell., ed. Sathas, *Μεσ. Βιβλ.* V, p. 474 *τὰς δὲ ἐνθεαστικὰς θεαγωγίας... οὐ πόαι καὶ λίθοι καὶ ζῷα τεμνόμενα περὶ τοὺς θεατὰς ἐνεργοῦσι* ; *Patr. Gr.* 122, p. 881 bc ; Svoboda, l.c., 45 ; Bidez, *Mél. Cumont*, p. 96 ; 100 ; Delatte, *Herbarius*², p. 13.

(2) Psell., ed. Bidez, l.c., p. 123 : *τὸ γὰρ ὑδραῖόν τε καὶ τὸ ὑποχθόνιον ἔτι τε καὶ τὸ μισοφαὲς ἐσχάτως ἐστὶ χαιρέκακα καὶ ὀλέθρια... ταῦτα γὰρ ... ἐνάλλομενα καθάπερ τῶν θηρίων τὰ ἀγριώτατα τῶν ἀνθρώπων ἐπισπεύδειν τὸν ὄλεθρον... τοὺς δέ γε ἀερίους τε καὶ χθονίους τέχνῃ καὶ περινοίᾳ μετιέναι καὶ ἐξαπατᾶν τὰς ἀνθρώπων γνώμας καὶ πρὸς πάθη καθέλκειν ἄτοπα καὶ παράνομα καὶ ὀλέθρια.*

(3) Olymp., *In Phaed.*, p. 230 N. : *ἀπὸ δὲ τῶν ἀερίων ἄρχονται συνυφίστασθαι οἱ ἄλογοι δαίμονες· διὸ καὶ τὸ λόγιόν φησιν· ἠερίων ἐλάτειρα κυνῶν χθονίων τε καὶ ὑγρῶν* (Kroll, p. 45) ; cf. Procl., *In Hes. op.* v. 151 ; Psell., l.c., p. 876 c ; ed. Bidez, p. 123 ; Olymp., *In Alcib.*, p. 19 Cr.

(4) Plat., *Conv.*, 202 d : *πᾶν τὸ δαιμόνιον μεταξύ ἐστι θεοῦ τε καὶ θνητοῦ* ; Olymp., *In Phaed.*, p. 189 N.

εἰσὶ δέ τινες ἀγέλαι δαιμόνων ἐστερημέναι σχεδὸν τῆς ἀγαθοεργίας, οἵτινες λέγονται κακοί, καὶ ἕτεραι ἀγέλαι δαιμόνων ἐστερημέναι τῆς ὄντως γνώσεως, οἵτινες ἄλογοι καὶ θηριώδεις ὀνομάζονται (1). ἑρμηνεύειν δέ φασι τὸ δαιμόνιον γένος καὶ διαπορθμεύειν θεοῖς τε τὰ παρὰ ἀνθρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν (2), τῇ μὲν ἐκφαντορικὸν ὑπάρχον ὡς κεκρυμμένων καὶ ἀφανῶν, τῇ δὲ ἀναγωγὸν ὡς διαπορθμεῦον πρὸς τὴν μόνιμον τῶν κρειττόνων ἀγαθότητα <τὰ τῶν> δεομένων. ταῦτα μὲν οὖν τῆς Ἑλληνικῆς ἀδολεσχίας εἰσίν · ἡμῖν δέ, οἷς Λόγος τὸ προσκυνούμενον, λῆρος ἅπαν δοκεῖ τὸ παρὰ τὰς ἡμετέρας καὶ θείας διατάξεις λεγόμενον.

De omnifaria doctrina

Quae infra edimus, in codice Barrocciano (= B) cum excerptis e Nemesio (f. 417^{v}-419 *Πλωτῖνος ἄλλο τὸν νοῦν — γεννηθὲν ὁ πατήρ*) coniuncta sunt titulo omisso, nullo spatio interiecto. Anecdota tamen non sunt, sed ex ipsius Pselli opere de omnifaria doctrina sumpta capitulis nonnullis quae apud Mignium (*Patr. Gr.* 122, p. 697 ss.) repperiuntur (= P) abbreviatis atque mixtis cum eis quae edidit Ruelle, *Annuaire des Études grecques en France*, XIII, 1879, p. 248 ss. (= R) (3). Psellus hanc Platonicorum doctrinam cum alibi tum in hoc codice saepius tractavit (f. 412 *περὶ νοῦ* = Procl., *inst. theol.* c. 166-180 ; ibidem *περὶ ψυχῆς* = Procl., c. 184-206) ; f. 412^{v} *περὶ ἀρετῆς* (*Τὴν πρὸς Ἑρκουλιανὸν ἀνεγνωκὼς ἐπιστολὴν Συνεσίου — ἐνεστήσατο πραγματείαν*), ineditum, ut videtur ; f. 419^{v} *περὶ ψυχῆς* (*ἡ ψυχὴ - διάκοσμον τίθησιν*) = R c. 6 ; 9 ; 12 ; P c. 30 ; 35). Auctores eius praecipui sunt Plato, Aristoteles (*de anima* ; *Ethica Nicom.*), Porphyrius (*sententiae ad intell.*), Proclus (*inst. theol.* ; cf. Dodds, *Proclus, the Elements of Theology*, p. xxx, n. 7) ; utrum Psellus hos ipsos libros exscripserit et quaedam aliunde sumpta addiderit, an opere Procli deperdito usus sit an Christiano quodam, incertum est. Doctrina enim non solum de mente et anima sed etiam de virtutibus pervulgatissima erat, cf. O. Schissel, *Marinos u. die neuplat. Tugendgrade*, 1928, p. 23 ss. ; Praechter, *Arch. Rel. Wiss.* XXV, 1927, p. 209 ss. ; Bidez, *Catal. alchim. gr.*, VI, 1928, p. 168 s.

6 τὴν μὲν ... τὴν δὲ cod. 7 διαπορθμεύεσθαι cod. 8 τὰ τῶν addidi 9 ἡμῖν scripsi : εἰ μῖν cod.

(1) l. 1-4 male hic insertae ad rem p. 119, 7 spectant.

(2) Plat., *Conv.*, 202 e : *ἑρμηνεῦον καὶ διαπορθμεῦον θεοῖς τὰ παρ' ἀνθρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν, τῶν μὲν τὰς δεήσεις καὶ θυσίας, τῶν δὲ τὰς ἐπιτάξεις τε καὶ ἀμοιβὰς τῶν θυσιῶν...* ; cf. Bidez-Cumont, *Les Mages hellénisés*, II, p. 277 ; 290 ; Cumont, *Lux Perpetua*, p. 228.

(3) Editio doctissima Pselli, quam confecit L. G. Westerink, 1948 (= W), benevolentia auctoris ad notitiam meam venit, cum in eo essem, ut haec omnia ad typographum mitterem. Quam ob rem nihil mutare potui, praeter quod capitibus numeros W praeposui. Monere tamen velim W Psellum e plenioribus quam P edidisse codicibus, qui capita **P** una cum capitibus R servaverunt et eodem fere ordine atque **B.**

F. 419. <Περὶ νοῦ, ψυχῆς, ἀρετῆς>.

W 16 (R 1). Ἄπειρος κατὰ τὴν ἀρχὴν καὶ κατὰ τὸ τέλος ὁ θεός, καὶ τὸ μὲν ἄνω αὐτοῦ ἄναρχον, τὸ κάτω ἀτελεύτητον, τὸ δὲ ξύμπαν αἰώνιον κατὰ τὸν θεῖον Γρηγόριον.

W 17 (P 16). ὡς ἔστι κατ' οὐσίαν, ὁ θεὸς γινώσκει καὶ τὰ πράγματα, τὰ μεριστὰ ἀμερίστως, τὰ μετάβλητα ἀμεταβλήτως, τὰ ὑπὸ χρόνον αἰωνίως, τὰ ἐνδεχόμενα ἀναγκαίως. ὁ θεὸς ἠπίστατο τὸ ἐσόμενον τῷ Ἀδάμ · οὐ μὴν ἀφῃρέθη τούτῳ ἡ ἐπὶ τὸ καλὸν ὁρμή. ὁ μὲν Ἀδὰμ ἀόριστον εἶχε τὴν ἐπὶ τὰ ἐναντία ῥοπήν, ὁ δὲ θεὸς ὡρισμένως <ἐγίνωσκε> τὸ ἀόριστον, ὡς καὶ τὸ σῶμα ἀσωμάτως οἶδεν.

W 21 s. (P 20 s.) ὁ ἀμέθεκτος νοῦς, ὁ ὑπερκόσμιος καὶ ὁ ἐγκόσμιος. πᾶς νοῦς ἑαυτὸν νοεῖ. ἀλλ' ὁ μὲν πρῶτος ἑαυτὸν μόνον, τὰ δὲ μετ' αὐτὸν νοεῖ ἀνοησίᾳ κρείττονι νοήσεως. καί ἐστιν οὗτος νοῦς καὶ νοητόν, ὡς νοῶν καὶ νοούμενος. ὁ δὲ μετὰ τὸν ἀμέθεκτον μεθεκτὸς νοεῖ καὶ τὸν πρὸ αὐτοῦ καὶ ἑαυτὸν καὶ τὰ μετ' αὐτόν · ἐκεῖνα μὲν διὰ τῆς ἑαυτοῦ γνώσεως, τὰ δὲ μετ' αὐτὸν κατὰ τὸ χεῖρον ἐπιστρέφων. ἔστιν ἄρα καὶ ἐν τῷ νῷ νοητὸν καὶ ἀνάπαλιν.

W 23 s. (P 22 s.) ὁ νοῦς πᾶς τὴν οὐσίαν καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν αἰώνιον ἔχει. <ἐν τῷ> ἐνεστῶτι πάντα οἶδεν, οὐ κινήσει, οὐκ ἀλλοιώσει, †οὐ συμπλήσεται†. ἀμέριστός ἐστιν, ὡς μὴ σῶμα

2-4 Greg. Naz., *Or.* 45 (*Patr. Gr.* 36, 628B) 5-7 Procl., *inst. theol.* 124 12-18 Procl., *inst. theol.* 166 s. 19 Procl. 169 ; 171 s. ; 176 s.

9 ὁ[1] P : τὸ B 10 ἐγίν. P : om. B καὶ B : γὰρ P 11 οἶδεν P : ἐστὶν B 12 ὑπερκ. κ. ἐγκ. bis B 15 νούμενος B 16 τὸν P : τὸ B 20 ἐν τῷ P : om. B πάντως B οὐ κινούμενος, οὐ συλλογιζόμενος οὐχ ... προτάσεις τιθεὶς καὶ ἐπάγων συμπεράσματα P 21 μὴ P : μὲν B

ἢ μέγεθός τι ἔχων · ἀσώματός ἐστιν, ὅτι ἑαυτὸν νοεῖ · αἰώνιος, ὅτι οὐ μερίζεται ἡ νόησις αὐτοῦ. πάντων ὑποστάτης ὁ δημιουργὸς νοῦς προσέχως τῶν ἀιδίων, εἶτα τῶν ἐγχρόνων.

W 26 s. (P 25 s.) τὰ ἀσώματα δι' ἀλλήλων φοιτῶσι καὶ ἀσύγχυτα μένουσι καὶ ἐν ἀλλήλοις ἡνωμένα καὶ χωρὶς διακεκριμένα. οἱ ἀνωτέρω νόες δυνάμεσι χρῶνται μείζοσιν, οἱ κατωτέρω πληθυνόμενοι ἐλαττοῦσι τὰς δυνάμεις. ἡ ἕνωσις δυναμικωτέρα, ἡ διαίρεσις πληθυντικωτέρα.

W 28-30 (R 2-4). τοῦ νοὸς καὶ ἡ ποίησις ἐν τῷ νοεῖν καὶ ἀνάπαλιν. ἄλλη ἡ ἐν τῷ νῷ νόησις καὶ ἄλλη ἡ ἐν τῇ ψυχῇ. νοερὸς ὁ νοῦς κατ' οὐσίαν, ἡ δὲ ψυχὴ κατὰ μέθεξιν · καὶ δευτέρως νοεῖ μέση τῶν ἀμερίστων καὶ τῶν περὶ τοῖς σώμασι μεριστῶν ἡ ψυχή.

W 31 (P 27). τὸ ἀκρότατον τῆς ψυχῆς νόησις, τὸ ἔσχατον δόξα καὶ τὸ μέσον διάνοια. ἡ ἐπιθυμία πολυκέφαλον θηρίον, ὁ θυμὸς λεοντώδης, ὁ δὲ λόγος ἀληθὴς ἄνθρωπος · θειότερος ἄνθρωπος ὁ νοερὸς καὶ αὐτοάνθρωπος.

W 32 (R 5). ὁ μερικὸς νοῦς κοινὸς καὶ ἴδιος · κοινὸς μὲν ὡς ἀμέριστος εἷς, ἴδιος καθ' ὅσον ἔχει ἕκαστος αὐτὸν ὅλον.

W 33 s. (P 28 s.). Πλάτων καὶ Ἀριστοτέλης ὡς ὀργάνῳ φασὶ χρῆσθαι τὴν ψυχὴν τῷ σώματι · οἱ ἐκ τοῦ Περιπάτου ὡς ἔνυλον εἶδος μιγνύουσιν <αὐτήν> · οἱ δὲ περὶ Κλεάνθην καὶ σῶμα ἀποφαίνονται. <κατὰ> Πλωτῖνον οὐ δέχεται <ἡ> ψυχὴ τὰ πάθη τοῦ σώματος, ὡς οὐδ' ὁ τέκτων τὰ τῶν ὀργάνων δέχεται. πάθη αἱ ἐνέργειαι καὶ δυνάμεις αὐτοῦ, οὐ μὴν ἡ οὐσία. Ἀριστοτέλης διττήν φησι τὴν ψυχήν, τὴν μὲν κεχωρισμένην, τὴν δ' ἐν σώματι.

W 36 ; 38 (R 7 s.). τινὲς τὰ αὐτά φασι πάθη καὶ αἰσθήσεις, οἱ δὲ τὰ μὲν πάθη ἐπὶ τὴν ὀρεκτικὴν δύναμίν φασι, τὰς δ' αἰσθήσεις ἐπὶ

9-12 Procl. 174 s. ; 190   14 Plat. *rep.* 588 c ; 590 a ; cf. Plot. I, 1, 7.   17 s. Plot. I, 1, 8.   19 Plat., *Phaed.* 86 ; *Alcib.* I, 130 a ; Arist., *de anima* I, 3, p. 407 b 25.   22 Cleanth. *frg.* 518 Arn.   Plot. I, 1, 3.   25 Iambl. ap. Stob. I, p. 368, 3 W.   27 Plat., *Phileb.* 34 a   28 Arist., *Anal. post.* II, 19, p. 99 b 35 ; *de an.* II, 2, p. 414 a 29

---

12 μέση R : μέσους B   περὶ B : παρὰ R (partim)   16 αὐτάνθρωπος P   18 ἕκαστος R : -α B   21 αὐτήν P : om. B   22 ἀποφαίνεται B   κατὰ addidi   Πλωτῖνος P : Πλάτωνος B   24 δέχεται δὲ πάθη B   28 φασι B : ἀνῆγον R

τὴν κριτικήν. οὐκ εὔκολος ὁ ὅρος τῆς ψυχῆς διὰ τὸ γένος. ἀμφισβητεῖται γάρ, πότερον οὐσία ἢ ποιόν, ὡς ἁρμονία, ἢ ἀριθμὸς καὶ ποσὸν κατὰ Ξενοκράτην. ἐνέργεια πᾶσα καὶ φαντασία οὐκ ἄνευ σωμάτων, ὥστε οὐδ' ἡ ψυχή.

W 48 s. (P 32 s.). οὐ μεταβάλλει ψυχὴ εἰς ἄγγελον (1) · οὐ γὰρ μεταβάλλει τὰ κατ' οὐσίαν ἕτερα εἴδη τῆς ζωῆς εἰς ἄλληλα. τὴν ψυχὴν οὐσιοποιοῦμεν ἡμεῖς ἀπὸ τοῦ θείου ἐμφυσήματος, Ἕλληνες δὲ Μίθραν τινὰ περὶ ταύτην διαπλάττουσι (2).

W 53 s. (P 37 s.) τῶν ἀμερίστων καὶ νοητῶν τὸ αἰώνιον, τὸ τέλειον καὶ τὰ τοιαῦτα · τῶν μεριστῶν τὸ ἔγχρονον, τὸ προσδεές · μέσον τούτων τὸ οὐκ ὄντως ὄν, τὸ κατ' οὐσίαν μὲν αἰώνιον, κατὰ δὲ τὰς ἐνεργείας ἔγχρονον [ταῦτα]. ἡ ψυχὴ οὔτε ὄντως ὄν, οὔτε ὄντως μὴ ὄν, ἀλλὰ μὴ ὄντως ὄν, ὡς ἡμεῖς Χερουβὶμ δοξάζομεν καὶ Σεραφίμ, οὕτω καὶ οἱ Ἕλληνες ὄντα τινὰ καὶ ζῶντα καὶ νοοῦντα καὶ ὑπερκοσμίους νόας καὶ ἐγκοσμίους.

W 55 (R 16). ἡ τῆς ψυχῆς δύναμις τελεία καὶ πρωτουργὸς καὶ γεννητικὴ ἐνεργειῶν · ἄλλαι αἱ τοῦ συνθέτου ἀνθρώπου δυνάμεις καὶ ἄλλαι αἱ τῆς ψυχῆς · ἄλλως εἰς ἑαυτὴν ἐνεργεῖ καὶ ἄλλως εἰς τὸ μετέχον δίδωσιν ἑαυτήν.

W 56 (P 39). τῆς ψυχῆς ἡ μὲν ἀντιληπτικὴ δύναμις, καθ' ἣν ἀντιλαμβάνεται τῆς ἑνώσεως τῶν ὄντων · ἡ δὲ παθητική, καθ' ἣν

---

2 Plat., *Phaed.* 86 bc ; Arist., *de an.* I, 4, p. 407 b 30 ; Xenocr. *frg.* 30 Heinze ; Macrob., *Somn.* I, 14, 19.   5 Porph., *de regressu an. frg.* 2 Bidez (Aug., *C.D.* X, 9) ; Arnob. II, 62.   9-15 Procl., *inst. theol.* 190-192.   16 Procl., *inst. theol.* 78 s.   20 Porph., ap. Stob. I, p. 347 ss. W. ; Procl., *inst. theol.* 7.

---

2 ἀριθμοὶ B   3 ἐνέργ. scripsi : ἐνειρεῖν B : αἴσθησις R   5 ἄγελον B   7 οὐσιοπ. P ; οὐσιωπ. B   9 τ. ἀ. κ. ν.] scil. ἰδιώματα ταῦτα (P)   11 μέσον B : μετὰ P   12 ἐν χρόνῳ BP   ταῦτα B : delevi (καὶ τὰ τούτοις ἀκόλουθα P)   16 προτουργὸς B   18 συνθέντου (sic) B : συγκειμένου ἐκ ψυχῆς καὶ σώματος R   19 ἑαυτὴν R : -ὸν B   21 ἀντιλαμβάνεται P : -ονται B   τῆς ἑν. : om. P

---

(1) Cf. Cumont, *Rev. hist. d s rel.*, LXXII, 1915, p. 170 s. ; 180.

(2) Psell., *de omnif. doctr.* 33 (p. 709 c = W 49) : τὸ ὂν ἀφ' ἑαυτοῦ, ἡ ζωὴ ἀπὸ τοῦ ὄντος, ὁ νοῦς ἀπὸ τῆς ζωῆς, ἡ ψυχὴ ἀπὸ τοῦ δημιουργικοῦ νοῦ. ἔστιν οὖν, φασίν, ἡ ψυχὴ νοῦ γέννημα ἀχρόνως ἐξ αὐτοῦ προιοῦσα.

διατίθεται οἰκείως καὶ ἀλλοτρίως· ἡ δὲ παρακτική, καθ' ἣν πρὸς τὰς πράξεις ἑκουσίως ὁρμᾷ.

W 57 (P 40). *κινοῦσι τὰ σώματα θεός, νοῦς, ψυχή, φύσις· σώματα τὰ ἁπλᾶ καὶ σύνθετα μόνη κινεῖ ἡ φύσις.*

W 58 (P 41). *τῶν ἐνεργειῶν αἱ κρείττους ἄρχονται ἀπὸ τῆς ψυχῆς, αἱ δ' ἀπὸ τοῦ σώματος, <οἷον> δίψα, ῥίγος. πάλιν τὰ μέν ἐστι τοῦ σώματος πάθη διὰ τὴν ψυχήν, ὡς τὸ ἐρυθριᾶν, τὰ δὲ τῆς ψυχῆς διὰ τὸ σῶμα, <ὡς> αἱ ἡδοναὶ καὶ λῦπαι, τὰ δὲ κοινά, ὡς ἡ κατὰ τόπον φορά. τὸ γὰρ ἀμείβειν τόπον <ἴδιόν ἐστι> τοῦ σώματος, τὸ δὲ κινεῖν ψυχῆς.*

W 59 (P 42). *ὁ μέγας Γρηγόριος ὁ Νυσσεὺς καὶ ὁ ἅγιος Μάξιμος ἅμα τῇ καταβολῇ τοῦ σπέρματος ἐπιτηδείου πρὸς ὑποδοχὴν ψυχῆς τυγχάνοντος τὴν ψυχὴν ὑφιστάνουσιν, οἱ δὲ Ἕλληνες μετὰ τὸ μορφωθῆναι τὸ σῶμα ἢ καὶ γεννηθῆναι, ἀλλὰ πρῶτον μὲν τὴν φυσικὴν εἰσάγουσιν, εἶτα τὴν λογικήν, ἐφεξῆς τὴν νοεράν.*

W 62 (P 45). *ἡ βούλησις βουλευτικὴ ὁρμὴ <ἑτέρα οὖσα> τοῦ λογισμοῦ, ὁμοίως καὶ πρακτικὸς λογισμός. ἐπεὶ ὁμοιοῦται ἡ ψυχὴ θεῷ, ἀρχαγγέλοις, ἀγγέλοις, καὶ ἔργα τοιαῦτα δείκνυσιν* (1)*· ὁμοίως καὶ ἐναντία διὰ τοὺς ἐναντίους.*

W 63 (P 46). *ἐκ λόγου καὶ ὀρέξεως συνίσταται προαίρεσις· προσοχὴ καθ' ἣν προσέχομεν ἔργοις καὶ λόγοις οἷς πράττομεν καὶ λέγομεν. μέσα εἰσὶ τὰ τῶν μαθημάτων ἀσκήματα καὶ τῶν καθαρτικῶν ἀρετῶν ἐπιτηδεύματα· μέσα, ὡς μεταξὺ νοερῶν καὶ δοξαστῶν.*

---

6 Arist., *de an.* I, 1, p. 403 a 3 ; Plot. III, 6, 3 11 Greg. Nyss., *de anima*, *Patr. Gr.* 45, p. 205 A 14 Iambl. ap. Stob. I, 48 (I, p. 317 W.) ; *Hermipp. de astrol.* II, 150 18 Plat., *Theaet.* 176 b ; *rep.* X, 613 ab ; Plot. I, 2 21 Arist., *Eth. Nic.* III, 2, p. 1111 b 4 22 Epict. 4, 12 24 infra p. 125, 9

---

1 *πρακτική* BP : correxi 5 *κρίττους* B 6 suppl. Delatte, cf. *ὅταν διψῇ μὲν ἢ πεινῇ ἢ ῥιγῇ* P 9 *ἴδιόν ἐστι* P : om. B 11 *Νύσσης* B 12 *ἅμα* B : *ὁμοῦ* P 17 *ἑτέρα οὖσα* P : om R 23 ante *μέσα* : *ση(μείωαι)* B *ἀσχήματα* B 25 *δοξαστικῶν* P

---

(1) Cf. Praechter, *Arch. Rel. Wiss.*, XXV, 1927, p. 210.

W 46 (R 15). *οὐχ ἁπλῶς κινητή, ἀλλ' αὐτο<κί>νητος ἡ ψυχή, ὡς ἐγγὺς τῆς ἀμερίστου οὐσίας. τῇ μεσότητι τῆς ψυχῆς τὸ ἐκ τῶν ἄκρων σύνθετον ἀποδεδήλωται ὄνομα. <κατὰ> Ἀριστοτέλην αὐτοκίνητος, ὅτι οὐδὲν μέρος αὐτῆς κινεῖ, <δ> οὐ <καὶ αὐτὸ> κινεῖται· ὡς ὁ νοῦς πρώτως κινεῖ ἀκίνητος <ὢν>, ἀλλὰ <σὺν> τῇ ψυχῇ καὶ τῇ φύσει. δυσὶ χαρακτηρίζεται ἡ ψυχή, κινητικῷ καὶ γνωστικῷ.*

W 66 (P 48). *τρεῖς· αἱ μὲν τῶν ἀρετῶν αἱ πολιτικαὶ κοσμοῦσι τὸν ἄνθρωπον, αἱ δὲ καθαίρουσι τῶν παθῶν ὡς καθαρτικαί, αἱ δὲ ὡς καθαρθεῖσαν ἀπασχολοῦσιν <τὴν ψυχὴν> εἰς τὴν θεωρίαν τῶν ὄντων, αἵτινες θεωρητικαί* (1). *τὸ ὑπὲρ τὴν ψυχὴν νοῦς, τὸ μετ' αὐτὴν ἄλογος ψυχὴ καὶ εἴδωλον ψυχῆς. ἡ ἀρετὴ ἐν πᾶσιν, ὁ δὲ θεὸς ἐπέκεινα ἀρετῶν.*

W 67 (P 49). *ἀρετῶν ἡ καὶ ἐν ἀλόγοις φυσική, ἠθική, πολιτική, καθαρτική, θεωρητική, θεουργική.*

W 68 (P 50). *τρεῖς ἀρεταὶ αἱ τελειοῦσαι τὸν ἄνθρωπον· ὁσιότης, δικαιοσύνη, φρόνησις· ὑπερουράνιος καὶ ὑπερκόσμιος ἀρετὴ καὶ ἐγκόσμιος.*

W 69 (P 51). *τέσσαρες αἱ πρώτισται ἀρεταί, ὧν ἡ μὲν φρόνησις τῆς διανοίας, αἱ δὲ λοιπαὶ τοῦ παθητικοῦ μέρους τῆς ψυχῆς. κατὰ Πλάτωνα ἠθικαὶ ἀρεταί, πολιτικαί, καθαρτικαί, μανικαί, ἐνθουσιώδεις.*

---

1 Arist., *de anima* I, 3, p. 405 b 31 3 Arist., *Metaph.*, XI, 7, p. 1072 b 7 ; Procl., *inst. theol.* 20 8 Porph., *sent. ad intell.* 32. 13 Aristot. *frg.* 49 R. (p. 100 Walzer) 16 Plat., *Protag.* 329 c 19 Arist., *Rhet.* I, 9, p. 1366 b 1 21 Plat., *Phaed.* 69 c (?)

---

1 *αὐτο..νησος* B 3 *ἀποδέδοται* P *κατὰ* addidi : non legitur B 4 *κινεῖ* scripsi : *-οῦσιν* B *δ ... καὶ αὐτὸ* R : om. B 5 *πρώτως* R : *-ον* B *ὢν* R : om. B 6 *σὺν* R : non legitur B *δισὶ* B 8 *τρεῖς*] scil. *τάξεις εἰσὶ τῶν ἀρετῶν* (P) 10 *καθαρθεῖσαι* P *τὴν ψυχὴν* P : om. B 11 *ὄντων* B : *νοητῶν* P *αἵτινες* P : non legitur B 19 *πρώτιστοι* B *ἀρεταί*] scil. *κατ' Ἀριστοτέλην* (P)

---

(1) Cf. Bidez, *Catal. alchim. gr.* VI, p. 168 ; Schissel, *Marinos u. die neuplat. Tugendgrade*, p. 23 ss.

W 70 (R 20). *τῶν πολιτικῶν ἀρετῶν τέλος ἡ μετριοπάθεια, τῶν καθαρτικῶν ἀπάθεια, τῶν θεωρητικῶν ἡ πρὸς θεὸν ὁμοίωσις. ἄλλως οὖν καὶ ἄλλως θεωροῦνται αἱ τέσσαρες ἐν ταῖς τρισίν. ὁ ἔχων τὰς μείζους ἀρετὰς ἔχει καὶ τὰς ἐλάττονας.*

W 71 (P 52). *οὐ μὴν καὶ ἀνάπαλιν ὁμοιούμεθα τῷ θεῷ κατὰ τὰς πολιτικὰς ἀρετὰς σκιωδέστερον, κατὰ τὰς καθαρτικὰς ἐκτυπώτερον, κατὰ τὰς θεωρητικὰς λαμπρότερον, κατὰ τὰς θεουργικὰς τῷ θεῷ τελεώτερον.*

W 72 (P 53). *ὁ θεὸς καὶ ἐν θεωρίᾳ τῶν ὅλων ἐστὶν καὶ ἐν προνοίᾳ. ὅθεν καὶ ὁ ἄνθρωπος διὰ τῶν πολιτικῶν ἀρετῶν ἐπιστρέφεται πρὸς τὰ τῇδε, διὰ τῶν θεωρητικῶν ὁρᾷ τοὺς λόγους πάντων τῶν φυσικῶν. πλὴν ἄλλως ἐνεργεῖ τὰς ἀρετὰς ἐν σώματι ἡ ψυχὴ καὶ ἄλλως ἐκτός.*

W 73 (P 54). *ὡς ἐκ τοῦ πρώτως ὄντος τὸ ὄν, καὶ ἐκ τοῦ <πρώτως> ἀγαθοῦ τὸ ἀγαθὸν καὶ ἡ ἀρετή.*

W 74 (P 55). *ὁ ἔχων τὴν θεουργικὴν ἀρετὴν θεοπάτωρ καλεῖται ὡς θεοὺς πολλοὺς ποιῶν* (1), *ὁ τὴν καθαρτικὴν δαιμόνιος, ὁ τὴν πολιτικὴν σπουδαῖος. ὅθεν εὑρίσκεται σπουδαῖος πρῶτον, εἶτα δαιμόνιος καὶ τέλος θεοπάτωρ. ὁ θεουργὸς μόνος οὐκ ἄν ποτε μεταθείη πρὸς τὸ ἐναντίον εἶδος τῆς ἀρετῆς.*

W 75 (R 18). *τῶν ἀρετῶν ἡ μὲν διανοητική, ἡ δὲ ἠθική. ἡ διανοητικὴ ἐκ διδασκαλίας καὶ ἐμπειρίας, ἡ δὲ ἠθικὴ ἐξ ἔθους. ὅθεν*

---

1 - p. 127, 15 Plot. I, 2 ; Porph., *sent.* 32, 3 5 v. supra p. 124, 18 ; 125, 8 10 Porph., *sent.* 32, 3 16 [Apul.], *Asclep.* 23 s. ; 27 ; Aug., *CD.* VIII, 23 s. ; Procl., *π. ἱερατικῆς τέχνης* (ed. Bidez, *Cat. alchim. gr.*, VI, p. 148 ss.). 21 Arist., *Eth. Nic.* II, 1, p. 1103 a 14

11-12 *τοὺς φυσικούς* P 4 *πρώτως* P : om. B 19 *ἄμ* B 22 *ἐκ* R : *ἐν* B

---

(1) Psell., *de omnif. doctr.* 55 (p. 721 d = W 74) : *ὁ μὲν ἔχων τὴν θεουργικὴν ἀρετὴν θεοπάτωρ κατονομάζεται · ἐπειδὴ γὰρ θεοὺς τοὺς ἀνθρώπους οὗτος ἐργάζεται... θεοπάτωρ δὲ καλεῖται ὁ θεουργὸς καὶ διὰ τὸ τῆς ψυχῆς εἶναι πατήρ, ὃν θεὸν καλοῦμεν διὰ τὴν θεωρητικὴν ἀρετήν* ; cf. Bidez, l.c., p. 142 ss. ; 169 ; Festugière, ad *Asclep.* 23 s. (II, p. 378, n. 194) ; Dodds, *J.R.S.* XXXVII, 1947, p. 55, n. 11 ; 63, n. 85.

καὶ λέγεται οὐδεμία δὲ ἠθικὴ ἐκ φύσεως · οὐδὲν γὰρ τῶν φύσει <ὄντων> ἐθίζεται.

W 76 (R 19) *αἱ ἀρεταὶ περὶ πράξεις καὶ πάθη <εἰσίν> · παντὶ πάθει καὶ πάσῃ πράξει ἕ<πεται> ἡδονὴ καὶ λύπη, καὶ διὰ τοῦτό ἐστιν ἡ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας.*

W 77 (P 56). *τρία ταῦτα ἐν ταῖς ψυχαῖς · δύναμις, πάθος, ἕξις. καὶ πάθος μὲν ἡ ἐπιθυμία, ὀργή, φόβος, χαρά, φιλία · δύναμις, καθ' ἣν παθητικοὶ λεγόμεθα · ἕξις, καθ' ἣν πρὸς τὰ πάθη ἔχομεν καλῶς ἢ κακῶς, σφοδρῶς ἢ ἀνειμένως. αἱ οὖν ἀρεταὶ οὔτε πάθη οὔτε δυνάμεις · αἱ ἀρεταὶ προαιρέσεις τινὲς <ἢ> οὐκ ἄνευ προαιρέσεως. κατὰ μὲν τὰ πάθη κινεῖσθαι λεγόμεθα, κατὰ δὲ τὰς ἀρετὰς διακεῖσθαι.*

W 78 (R 21). *ἡ ἀρετὴ κατὰ τὴν οὐσίαν καὶ τὸν ὁρισμὸν μεσότης, κατὰ δὲ τὸ ἄριστον καὶ τὸ εὖ ἀκρότης. οὐ πᾶν πάθος ἔχει μεσότητα ὡς ἀναισχυντία, φθόνος, φόνος, μοιχεία καὶ τὰ τοιαῦτα.*

W 81 (R 22). *τῆς ψυχῆς τὸ μὲν λογικὸν καὶ νοερόν, τὸ δὲ παθητικὸν καὶ ἄλογον. καὶ τούτου τὸ μὲν σωματικώτερον, οἷον τὸ ἐπιθυμητικόν, τὸ δέ ἐστιν, ὅτε τῷ λογισμῷ παρέχει ἰσχὺν καὶ δύναμιν. ἡ φρόνησις δεῖται τύχης, ἡ δὲ σοφία οὐδὲ βουλῆς.*

W 64 (P 47). *ἐπὶ τοῦ φυσικοῦ θανάτου τὸ σῶμα λύεται ἀπὸ τῆς ψυχῆς, ἐπὶ τοῦ νοητοῦ τὸ ἔμπαλιν. ἡ φύσις συνδέει τὸ σῶμα τῇ ψυχῇ καὶ πάλιν λύει, ἡ ψυχὴ συνδέει ἑαυτὴν τῷ σώματι διὰ τῶν παθῶν καὶ πάλιν λύει. ὁ νοῦς ἀμέριστος πάντη, τὸ σῶμα μεριστόν, ἡ ψυχὴ μέσον. πάντα μὲν ἐν πᾶσιν · ὁ νοῦς δὲ νοερῶς ἔχει πάντα, ἡ ψυχὴ λογικῶς, τὸ φυτὸν σπερματικῶς, τὸ σῶμα εἰδωλικῶς ἢ κοινωνικῶς, ὁ θεὸς ἀνεννοήτως καὶ ὑπερουσίως.*

W 65 (R 17). *ἡ ψυχὴ συνέχεται ἐν τῷ σώματι οὐχ ὡς θηρίον*

3-12 Arist., *Eth. Nic.* II, 5, p. 1105 b 19 13 Arist., *Eth. Nic.*, II, 6, p. 1107 a 6 20 Plot. I, 9 ; Porph., *sent.*, 8 23 Plot. IV, 2, 1 ; Porph., *sent.* 5 24 Plot. V, 8, 4 ; Porph., *sent.* 10 ; Procl., *inst. theol.* 103

---

2 *ὄντων* R : om. B 3 *εἰσίν* R : om. B 4 *πάσῃ* R : *πάθους* B *ἕπεται* R : *ἕ....* B 8 *παθητικὴ* B *λεγ.* B : *γιγνόμεθα* R 10 *ἢ* P : om. B *ἄνευ* P : *ἄν* B 11 *κατὰ* R Aristot. : *μετὰ* B 14 *εὖ* Aristot. : *ἓν* BR 15 post *ἀναισχ.*] *γὰρ* B : delevi *μοιχία* B 19 *τύχης* R : *..χους* B 24 *ἐν πᾶσιν* P : *ἐμπαθῶς* B 25 *φυτὸν* P : *αὐτὸ* B *εἰδωλ.* P : *εἰδωτ.* B

ἐν ζωγρίῳ ἢ ὑγρὸν ἐν ἀσκῷ, ἀλλ' αὐτὴ ἡ ψυχὴ ὑφίστησι δυνάμεις ῥεπούσας ἀφ' ἑαυτῆς εἰς τὸ σῶμα, δι' ὧν συμπλέκεται τῷ σώματι. αὕτη ἡ δόξα οὐκ ἀρέσκει μοι, ὡς Ἑλληνική, κἂν μύριοι Πλάτωνες τοῦτο λέγοιεν, οἳ καὶ ὡς κλίνῃ <ἐν> τῷ σώματι τὴν ψυχὴν ὡς βασιλίδα ἀναπαύουσι τάπητας ἁλουργοὺς ὑποτιθέντες καὶ πορφυρόβαπτα καταστρώματα.

Calendarium Graecum

De calendario codicis Barocciani (= B) haec praemonenda sunt:

1) Titulus, qui cum mense Ianuario periisse videtur, e nota Kalendis Februariis falso adscripta recuperari potest. Excerptor quidam praesagia ex alio fonte mensi Februario addidit, sed reliqua postea omisit.

2) Calendaria B et Aetii (= A), III, 164, magnam partem ad verbum conspirant; quod ut demonstremus, A ex Aetii nova editione ab A. Olivieri recognita (1935) exscripsimus. Praeterea in notis lectiones calendarii codicis Matritensis (= M), quod L. Bianchi editioni Clodii Tusci subiunxit (*Sitz.-Ber. Heidelberg*, 1914, 3. *Abh.*, p. 50 ss.), nonnumquam attulimus.

3) B in usum urbis cuiusdam Asiae Minoris compilatum esse ex eo discimus, quod novus annus natali die imperatoris Augusti, 23. Sept., incipit, id quod Asiani c. annum a. Chr. n. 9 rogante proconsule Paullo Fabio Maximo decreverunt, *Or. gr.* 458. Praeterea urbem illam Asiae et ad mare sitam esse et ab Aegypto haud longe abesse necesse est; nam B mare saepe respicit navigationemque vernali tempore resumptam die Isidis festo (*Πλοιαφέσια*) celebrat, necnon nomina mensium Aegyptiaca et novum annum Aegyptiorum commemorat.

4) Hic novi anni dies usui est nobis in origine Calendarii accuratius determinanda. Aegyptii enim novum annum die primo mensis Thoth celebrabant, qui dies etiam dies ortus Sirii vel Sothis astri semper fuisset, nisi Aegyptii rationem intercalandi repudiassent. Quo errore factum est, ut novus annus quarto quoque anno uno die prius quam quadriennio praecedente celebraretur atque ad Sothis ortum post annos 1460 rediret (cf. Censor. 18, 10), id quod antiqui cyclum Sothiacum appellaverunt. Quam ob rem si observaverimus novum annum secundum calendarium nostrum die 20. mensis Augusti celebratum esse, anno tamen p. Chr. n. 139, ut notum est (Censor. 21, 10), cum novo cyclo Sothiaco die 18. mensis Iulii, si deinde multiplicaverimus numerum 31 quater (i.e. numerum dierum, qui interest inter hos novos annos, numero annorum, quibus differentia unius diei in novo anno celebrando existit), summam denique 124 si detraxerimus de anno Sothiaco 139, calendarium nostrum c. annum p. Chr. n. 15 compilatum esse concludemus.

1 Plot. IV, 3, 20; Porph., *sent.* 28.

3 *ἀρέσκει* R : *-σει* B

5) Commemorantur igitur non modo, ut saepissime, siderum ortus occasusve, venti, etc., sed etiam (sicut in Calendariis Papyri Hibeh 27 et Antiochi) dies quidam festi: 1. Mart. *Ἄρεως ἑορτή*; 9. Mart. *Πλοιαφέσια*; 12. Apr. *ὕψωμα Ἡλίου*; 20. Aug. *νέον ἔτος τῶν Αἰγυπτίων*; 23. Sept. *νέον ἔτος*; 22. Nov. *Ἡλιοδύσια*. In his 1. Mart. novus annus est Romanorum veterum, 20. Aug. Aegyptiorum, 23. Sept. Asianorum; *ὕψωμα Ἡλίου* novimus ex Calendario Antiochi (10. Apr.); *Ἡλιοδύσια* cum Brumalibus Romanorum et cum *προοίμια τῆς χειμερινῆς τροπῆς* Calendarii Clodii Tusci (24. Nov.) cohaeret: eo enim die id spatium temporis incipit, quod finitur, ut docet Calendarium Antiochi, die natali Solis (*Ἡλίου γενέθλιον*), 25. Dec. De his diebus festis amplius dixi in *Journ. Rom. Stud.* XXXVIII, 1948, p. 37 ss.

6) De calendarii indole nihil ausim affirmare; continet enim notas novas siderum (Cepheus, Engonasin, Hercules, Apollo, Pegasus [Aug. 13], Lampter) et veteres, quae non sunt satis exploratae; adnotavi tamen quaedam in apparatu critico imprimis adiutus tabulis, quas confecerunt Boll, *Der Kalender der Quintilier*, *Sitz.-Ber. Heidelberg*, 1911, 1. *Abh.*, p. 30 ss. et Rehm, *Parapegmastudien*, *Abh. Akad. München*, N.F. XIX, 1941, p. 59 ss.

B	A
F. 423. *Ἀπλανῶν ἐπιτολαὶ καὶ δύσεις.*	
<Ἰανουάριος, καθ' Ἕλληνας Αὐδυναῖος, κατ' Αἰγυπτίους Τυβί.>	*Μηνὶ Ἰανουαρίῳ*
	δ'. Δελφὶς ἐπιτέλλει.
	ε'. Ἀετὸς ἑσπέριος δύνει· ταραχὴ δὲ σφοδρὰ γίγνεται μετὰ δύο ἡμέρας.

B(aroccianus); **A**(etius); **M**(atritensis)

Titulus *Περὶ Φε(βρουάριος) καθ' Ἕλληνας — Μεχὴρ τούτου τῇ πρώτῃ ἀπλανῶν ἐπιτολαὶ καὶ δύσεις* B : hinc titulum restituimus

	κε'. ὁ λαμπρὸς ἀστὴρ ἐν τῷ Λέοντι δύνει, κινεῖ τε πρὸ τριῶν ἡμερῶν τὸν ἀέρα.
	κη'. Δελφὶς ἑσπέριος δύνει.
<Οὗτος ὁ μὴν κεῖται ἄστρῳ Αἰγοκέρωτι · νὺξ ὡρῶν ιδ', ἡμέρα ι'.>	
Φεβρουάριος, καθ' Ἕλληνας Περίτιος, κατ' Αἰγυπτίους Μεχίρ.	Μηνὶ *Φευρουαρίῳ*
α'.	
γ'. ὁ λαμπρὸς τοῦ Ὄρνιθος δύνει · θαλάσσης ταραχὴ γίνεται.	
ς'. ζέφυρος πνεῖ.	ς'. ζέφυρος πνεῖ.
ιθ'. Ἠριδανὸς ὑπὸ κρύψιν γίνεται καὶ ποιεῖ βροχάς.	
κβ'. Ὀιστὸς δύνει ἑσπέριος καὶ ἔστι ταραχὴ τοῦ ἀέρος.	κβ'. Ὀιστὸς δύνει ἑσπέριος καὶ ἔστι ταραχὴ ἱκανὴ τοῦ ἀέρος.
κδ'. Κηφεὺς ἐπιτέλλει μόνος.	
κε'. Ἀρκτοῦρος ἑσπέριος ἐπιτέλλει.	κε'. Ἀρκτοῦρος ἑσπέριος ἐπιτέλλει.
κς'. ὁ Ἐν γόνασιν ἀστὴρ ἐπιτέλλει · καὶ γίνονται ἀνεμομαχίαι · καὶ χελιδόνες φαίνονται.	κς'. χελιδόνες φαίνονται.
<οὗτος ὁ μὴν> κεῖται ἄστρῳ Ὑδροχόῳ · νὺξ ὡρῶν ιγ', ἡμέρα ια'.	
[Τούτῳ τῷ μηνὶ Σελήνης οὔσης ἐν Ὑδροχόῳ, ἐὰν γένωνται βρονταί, πολέμους ἰσχυροὺς εἰς	

Febr. 3 τῆς Ὀρν. B 22 ἰστὸς B 24 Cepheus cum Aquario oritur, Manil. V, 449 ; cf. Firmic. VIII, 15, 4 ; deest in ceteris calendariis 26 Eng. in extremis Piscium partibus oritur secundum Firmic. VIII, 17, 4 ; Manil. V, 645 ss. ; Herm. Trismeg. p. 73, 2 Gundel ; cf. Boll, *Sphaera*, p. 21, 6 ; 52, 9 ; 466, 9 ; deest in ceteris calendariis post 26 : praesagia e Tonitruali quodam sumpta (simillima exstant in *Geop.* I, 10, 12 = Zoroastr. frg. O 41 B.-C. ; cf. etiam quae ed. Boudreaux, *Catal.*, VIII, 3, p. 195-97) : seclusi

τὴν γῆν σημαίνει καὶ σάλους καὶ νόσους περὶ τοὺς ἀνθρώπους, σίτων δὲ καὶ τῶν ἄλλων καρπῶν φθορὰν καὶ χωρῶν τινῶν ἀπώλειαν. κατὰ δὲ *Εὔδοξον* χειμῶνας πολλούς. καὶ τὰ ἐσπαρμένα οὐκ ἔσται καλά · καὶ ἑρπετῶν ἀπώλεια. ἐὰν δὲ σεισμὸς γένηται, ἀναίρεσιν σημαίνει.]	
Μάρτιος, καθ' Ἕλληνας Δύστρος, κατ' Αἰγυπτίους Φαμενώθ.	Μηνὶ Δύστρῳ, ὅ ἐστι *Μαρτίῳ*
α'. Ἄρεως ἑορτή.	
θ'. Πλοιαφέσια.	
ιβ'. Ἀρκτοῦρος ἐπιτέλλει · θαλάσσης ταραχή.	
ιζ'. πελαργοί.	
ιθ'. ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ Λέοντος δύνει · θαλάσσης ταραχή · καὶ ὁ λεγόμενος Ἵππος ἑῷος ἐπιτέλλει.	ιθ'. ὁ λεγόμενος Ἵππος ἑῷος ἀνατέλλει.
κγ'. ἰσημερία ἐαρινή · καὶ ἔστι μεγίστη ταραχὴ τοῦ ἀέρος.	κγ'. ἰσημερία ἐαρινή · καὶ ἔστι μεγίστη ταραχὴ τοῦ ἀέρος.
κς'. ὁ σύνδεσμος τῶν Ἰχθύων †δύνει† · καὶ γίνεται θαλάσσης ταραχὴ καὶ ἀνέμων κίνησις .	
Οὗτος ὁ μὴν κεῖται ἄστρῳ Ἰχθύσι · νὺξ ὡρῶν ιβ', ἡμέρα ιβ'.	
Ἀπρίλλιος, καθ' Ἕλληνας Ξανθικός, <κατ' Αἰγυπτίους Φαρμουθί>.	Μηνὶ Ξανθικῷ, ὅ ἐστι *Ἀπριλλίῳ*
	α'. Πλειάδες ἀκρόνυχοι φαίνονται.

Mart. Διστρος B 1 Ἄρ. ἑορτή] cf. *Journ. Rom. Stud.* XXXVIII, 1948, p. 37 s. 9 *Πλειαφέσια* B cf. ibid., p. 38 ; Cumont, *Relig. Orientales*[4], p. 243 n. 94 19 cf. Ptol., *App.*, Phamen. ιη' Ἵππος cf. Rehm, *Parapegmastud.*, p. 60, 8 23 Ἄρεος supra ἔαρος (sic) scriptum B 26 immo ἐπιτέλλει, cf. Ps. Gemin. p. 228 M. (Lyd., *de ost.*, p. 192, 20 W.) ; *Parapegma Miles.* (ed. Diels-Rehm, *Sitz.-Ber. Berlin* 1904, p. 106) ; Rehm, *Parapegmastudien*, p. 80, 1

ιβ'. ὕψωμα Ἡλίου.	
ιε'. Περσεὺς ἄρχεται ἐπιτέλλειν · καὶ νότος πνεῖ.	
	ιθ'. Πλειάδες ἑσπέριοι κρύπτονται.
κα'. παχνίτης.	κα'. Πλειάδες ἅμα Ἡλίου ἀνατολῇ ἐπιτέλλουσι · καί ἐστι μεγίστη ἡ περὶ τὸν ἀέρα ταραχή.
κε'. ὁ ἐπὶ τῆς ζώνης τοῦ Ὠρίωνος κρύπτεται καὶ νότος γίνεται.	
	κζ'. Ὠρίων ἑσπέριος κρύπτεται.
Οὗτος ὁ μὴν κεῖται ἄστρῳ Κριῷ · νὺξ ὡρῶν ια', ἡμέρα ιγ'.	
Μ ά ι ο ς, καθ' Ἕλληνας Ἀρτεμίσιος, κατ' Αἰγυπτίους Παχών.	Μηνὶ Ἀρτεμισίῳ, ὅ ἐστι Μ α ί ῳ
α'. ὁ λαμπρὸς τῆς Λύρας ἀστὴρ ἑσπέριος ἐπιτέλλει · ἀὴρ ὁμιχλώδης · καὶ Ὑάδες ἅμα Ἡλίου ἀνατολῇ ἐπιτέλλουσι.	α'. Ὑάδες ἅμα Ἡλίου ἀνατολῇ ἐπιτέλλουσι.
	δ'. Λύρα ἑσπέριος ἐπιτέλλει καὶ ἀλλοιοῦται ὁ ἀὴρ ἱκανῶς.
ς'. Αἲξ ἑῷος ἀνατέλλει καὶ σφόδρα ἀλλοιοῦται ὁ ἀήρ.	ς'. Αἲξ ἑῷος ἀνατέλλει καὶ σφόδρα ἀλλοιοῦται ὁ ἀήρ.
ζ'. Πλειάδες ἑῷοι φαίνονται καὶ ἄρχεται ὁ ἀὴρ καθίστασθαι.	ζ'. Πλειάδες ἑῷαι φαίνονται καὶ ἄρχεται ὁ ἀὴρ καθίστασθαι.
η'. πάχνης μέγας.	
ιδ'. †Προκύων† ἐπιτέλλει · βρονταὶ καὶ νιφάδες.	
ιθ'. Ὑάδες ἑῷοι φαίνονται καὶ ἀλλοιοῦται πάνυ ὁ ἀὴρ πρὸ μιᾶς ἢ δύο.	ιθ'. Ὑάδες ἑῷαι φαίνονται καὶ ἀλλοιοῦται πάνυ ὁ ἀὴρ πρὸ μιᾶς ἢ δύο.

Apr. 12 *ὕψ. Ἡλ.* cf. *Journ. Rom. Stud.* ibid., p. 38 s. 15 cf. Clod. Tusc. 21 *παχνήτης* B de *παχνίτου* notione cf. Boll, *Kalender d. Antiochos*, p. 22, n. 33 25 cf. Ptol. (Pachon 1)
Mai. *Παχώ* B 6 *ἐξ αἶωας* B 14 Procyon mense Iulio ante Canem oritur, v. infra Iul. 7 : an *ὁ Κύων κρύπτεται* sicut Antioch., Mai. 13?

κβ'. ὁ τῶν Διδύμων νότιος Ἡρακλῆς ἐπιτέλλει · ἀέρες καθαροὶ καὶ παχνίτου ἔκβασις.	
κδ'. Αἲξ ἑσπέριος κρύπτεται.	κδ'. Αἲξ ἑσπέριος κρύπτεται · κινεῖται ὁ ἀὴρ πρὸ δύο ἡμερῶν.
Οὗτος ὁ μὴν κεῖται ἄστρῳ Ταύρῳ · νὺξ ὡρῶν ι', ἡμέρα ιδ'.	
Ἰ ο ύ ν ι ο ς, καθ' Ἕλληνας Δαίσιος, κατ' Αἰγυπτίους Παυνί.	Μηνὶ Ἰ ο υ ν ί ῳ
α'. †Ἀρκτοῦρος δύνει† · ζέφυρος πνεῖ.	
β'. Ἀετὸς ἑσπέριος ἐπιτέλλει.	β'. Ἀετὸς ἑσπέριος ἐπιτέλλει.
ς'. ὁ τῶν Διδύμων βόρειος Ἀπόλλων ἐπιτέλλει καὶ γίνεται καύματα · καὶ Ἀρκτοῦρος ἑῷος δύνει.	ς'. Ἀρκτοῦρος ἑῷος δύνει.
θ'. Δελφὶς ἑσπέριος ἐπιτέλλει.	θ'. Δελφὶς ἑσπέριος ἐπιτέλλει.
κβ'. τροπὴ θερινή.	
κδ'. Ἀριάδνης Στέφανος δύνει καὶ γίνεται καύματα.	
κε'. Ὠρίων ἑῷος ἄρχεται ἐπιτέλλειν.	κε'. Ὠρίων ἑῷος ἄρχεται ἐπιτέλλειν · εἰσὶ δὲ τροπαὶ θεριναὶ καὶ ἀλλοιοῦται σφόδρα ὁ ἀὴρ πρὸ τριῶν ἡμερῶν.
Οὗτος ὁ μὴν κεῖται ἄστρῳ Διδύμῳ · νὺξ ὡρῶν θ', ἡμέρα ιε'.	
Ἰ ο ύ λ ι ο ς, καθ' Ἕλληνας Πάνεμος, κατ' Αἰγυπτίους Ἐπιφί.	Μηνὶ Ἰ ο υ λ ί ῳ
α'. Ὠρίων †ἄρχεται ἐπιτέλλειν† · ἀρχὴ προδρόμων.	
	γ'. Ὠρίων ὅλος ἐπιτέλλει.

22 *Ἡρακλεῖς* B cf. M ad Mai. 28 ; Herm. Trismeg. p. 55, 29 Gundel *παχνίτης* B post 24 : *ὁρῶν* B
Iun. *Δέσιος* B 1 cf. infra 6 6 Apollo : cf. Herm. Trismeg. p. 55, 33 Gundel *Ἀρκτῷος* B 24 *Ἀριάδνη καὶ Στ. δύνουσι* B cf. M (Iun. 30) ; Boll-Gundel, *Myth. Lex.* VI, p. 892 ss.
Iul. 1 an *δλος ἐπιτέλλει*?

ϛ'. Προκύων ἐπιτέλλει· ἄνεμοι ἐτήσιοι.	
	ιδ'. Προκύων ἑῷος ἐπιτέλλει.
ιη'. Κυνὸς ἐπιτολή.	
	ιθ'. Κύων ἑῷος ἐπιτέλλει καὶ γίγνεται μεγίστη τοῦ ἀέρος ταραχή, ἐνίοτε πρὸ δύο ἡμερῶν.
κ'. Ἀετὸς δύνει καὶ γίνεται καύματα.	*κε'. Ἀετὸς ἑῷος δύνει· κινεῖται δὲ ὁ ἀὴρ πρὸ τριῶν ἡμερῶν.*
Οὗτος ὁ μὴν κεῖται ἄστρῳ Καρκίνῳ· νὺξ ὡρῶν ι', ἡμέρα ιδ'.	
Α ὔ γ ο υ σ τ ο ς, καθ' Ἕλληνας Λῷος, κατ' Αἰγυπτίους Μεσωρί.	*Μηνὶ Α ὐ γ ο ύ σ τ ῳ*
α'. Ὕδρος ἑσπέριος δύνει καὶ πνέουσιν ἄνεμοι ἰσχυροί.	
ε'. Δελφὶς ἄρχεται ἐπιτέλλειν· ἀὴρ ὁμιχλώδης.	
ιγ'. ἡ προτομὴ τοῦ Ἵππου ἑῴα ἀνατέλλει καὶ ἐπισημαίνει.	
ιε'. Λύρα ἑῴα δύνει.	*ιε'. Λύρα ἑῷος δύνει.*
ιζ'. ὁ ἐπὶ τῆς καρδίας τοῦ Λέοντος ἐπιτέλλει καὶ ἐπισημαίνει.	
	ιθ'. Δελφὶς ἑῷος δύνει καὶ ἔστι τροπὴ τοῦ θέρους ἐπὶ τὸ ψυχρόν.
κ'. νέον ἔτος Αἰγυπτίων.	
	κη'. Προτρυγητὴρ ἑῷος ἐπιτέλλει καὶ Ὀιστὸς δύνει· ἐστὶ δὲ τὸ τέλος τῶν μετὰ τὴν ἐπιτολὴν τοῦ Κυνὸς ἡμερῶν μ'.

post 20 : *Καρκίνῳ* scr. : *Λέοντι* B
Aug. 13 deest in ceteris calendariis, cf. Boll-Gundel, *Myth. Lex.*, VI, p. 927 *ἐπισ.* cf. Rehm, *R.E. Suppl.* VII, p. 175 ss.
20 cf. *Journ. Rom. Stud.* p. 39 s.

Οὗτος ὁ μὴν κεῖται ἄστρῳ <Λέοντι>· νὺξ ὡ_ῶν ια', ἡμέρα ὡρῶν ιγ'.	
Σ ε π τ έ μ β ρ ι ο ς, καθ' Ἕλληνας Γορπιαῖος, κατ' Αἰγυπτίους Θώθ.	*Μηνὶ Σ ε π τ ε μ β ρ ί ῳ*
α'. ἡ Ἀνδρομέδα ἑσπέριος ἐπιτέλλει καὶ πνεῖ νότος.	
ϛ'. Αἶξ ἑσπέριος ἐπιτέλλει καὶ ζέφυρος πνεῖ.	
	ζ'. Αἶξ ἑσπέριος ἐπιτέλλει.
	ιδ'. Ἀρκτοῦρος ἐπιτέλλει καὶ ἀλλοιοῖ τῇ ἑξῆς τὸν ἀέρα.
ιε'. †Στάχυς δύνει†· ὄμβροι σὺν ἀνέμοις.	
	ιθ'. Στάχυς ἑῷος ἐπιτέλλει· ἀλλοιοῦται δὲ ὁ ἀὴρ πρὸ β' ἡμερῶν.
κγ'. νέον ἔτος.	
κε'. Ὑάδες ἄρχονται ἐπιτέλλειν καὶ γίνονται βροχαί.	*κε'. ἰσημερία φθινοπωρινή· καὶ ἔστι μεγίστη ταραχὴ τοῦ ἀέρος πρὸ γ' ἡμερῶν· διὸ παραφυλάττεσθαι χρὴ μηδὲ φλεβοτομεῖν μηδὲ καθαίρειν μηδ' ἄλλως τὸ σῶμα κινεῖν σφοδρᾷ κινήσει ἀπὸ ιε' τοῦ Σεπτεμβρίου μέχρι κδ'.*
Οὗτος ὁ μὴν κεῖται ἄστρῳ <Παρθένῳ>· νὺξ ὡρῶν ιβ', ἡμέρα ὡρῶν ιβ'.	
Ὀ κ τ ώ β ρ ι ο ς, καθ' Ἕλληνας Ὑπερβερεταῖος, κατ' Αἰγυπτίους Φαωφί.	*Μηνὶ Ὀ κ τ ω β ρ ί ῳ*

Sept. 1 cf. Rehm, *Parapegmastud.*, p. 65, n. 91 ; p. 94
15 *Στάχυες δύνουσιν* B : *Στάχυς δύνει* M : malim *Στάχυς <ἐπιτέλλει· κβ'. Ἰχθύες> δύνουσιν* 23 cf. *Journ. Rom. Stud.*, p. 40
25 cf. M (Sept. 29) : an recte?
Oct. *Φαούφ* B

α'. Πλειάδες ἀκρόνυχοι ἐπιτέλλουσι καὶ νότος πνεῖ.

ε'. Στέφανος ἐπιτέλλει καὶ ἐπισημαίνει.

ιη'. ὁ λαμπρὸς τοῦ βορείου Ἰχθύος ἐπιτέλλει καὶ νότος πνεῖ.

κθ'. Σκορπίος ἄρχεται ἐπιτέλλειν καὶ ποιεῖν ψύξεις.

Οὗτος ὁ μὴν κεῖται ἄστρῳ <Ζυγῷ> · νὺξ ὡρῶν ιγ', ἡμέρα ὡρῶν ια'.

Ν ο έ μ β ρ ι ο ς, καθ' Ἕλληνας Δῖος, κατ' Αἰγυπτίους Ἀθύρ.

α'. Λαμπτὴρ ἐπιτέλλει καὶ ποιεῖ χειμῶνα · ἀστρῷος Κύων ἐπιτέλλει καὶ ποιεῖ ἀνέμους ψυχροὺς καὶ βροχώδεις.

ς'. Στέφανος ἑῷος ἐπιτέλλει καί ἐστι σφοδρὰ μεταβολὴ τοῦ ἀέρος.

ζ'. Ἔριφοι ἑσπέριοι ἐπιτέλλουσιν.

ιζ'. Ὑάδες ἑσπέριοι ἐπιτέλλουσι καὶ ἱκανὴ ταραχὴ τοῦ ἀέρος γίγνεται.

κγ'. ἅμα Ἡλίου ἀνατολῇ Πλειάδες δύνουσι καί ἐστι μεγίστη ταραχὴ τοῦ ἀέρος πρὸ α' ἡμέρας.

Μηνὶ Ν ο ε μ β ρ ί ῳ

1 Vergiliae alibi (cf. Rehm, p. 66, n. 114) c. Oct. 10 oriuntur 18 cf. Antioch. (Oct. 19)

Nov. 1 *Λ.* neque e calendariis, neque aliunde notus; idem videtur esse atque *ὁ λαμπρὸς τῶν Ὑάδων* Antiochi (Nov. 3); cf. Boll, *Sphaera*, p. 219; id. *Antike Beobachtungen farbiger Sterne*, p. 8; 156; Boll-Gundel, *Myth. Lex.*, VI, p. 941: possis igitur *<ὁ> λαμπ<ρὸς τ. Ὑ. ἀσ>τὴρ* vel, ut suadet Boer, *<ὁ> Λαμπ<αύρας ἀσ>τὴρ* (cf. *Tetrab.*, I, 9, p. 23, 14 Boll-Boer) quid sit *ἀστρῷος Κύων*, nescio; non est Sirius, qui nonnumquam *ἀστροκύων* (Boll, *Sphaera*, p. 139; 209) appellatur

ς'. Σκορπίος †ὑπὸ κρύψιν γίνεται † καὶ ποιεῖ βροχήν.

ιθ'. Ὠρίων δύνει καὶ νότος πνεῖ.

κβ'. Ἡλιοδύσια.

κη'. Κύων δύνει καὶ γίνεται θαλάσσης ταραχή.

Οὗτος ὁ μὴν κεῖται ἄστρῳ <Σκορπίῳ> · νὺξ ὡρῶν ιδ', ἡμέρα ι'.

Δ ε κ έ μ β ρ ι ο ς, καθ' Ἕλληνας Ἀπελλαῖος, κατ' Αἰγυπτίους Χοιάκ.

α'. Ὑάδες δύνουσι · καὶ ποιεῖ χειμῶνα.

ε'. Αἲξ δύνει καὶ πνέουσιν ἄνεμοι σφοδροί.

κ'. τροπὴ χειμερινή.

κα'. Αἰγόκερως ἐπιτέλλει · θαλάσσης ταραχή.

Οὗτος ὁ μὴν κεῖται ἄστρῳ <Τοξότῃ> · νὺξ ὡρῶν ιε', ἡμέρα θ'.

ς'. Πλειάδες ἑῷαι δύνουσι καὶ ἄρχεται καθίστασθαι ὁ ἀήρ.

ιγ'. Λύρα ἑῷος ἐπιτέλλει.

κα'. Ὑάδες ἑῷαι δύνουσι καὶ ταραχὴ περὶ τὸν ἀέρα γίγνεται τῇ ἑξῆς.

κζ'. Ὠρίων ἐπιτέλλει καὶ Στέφανος δύνει.

Μηνὶ Δ ε κ ε μ β ρ ί ῳ

α'. Κύων ἑῷος δύνει · τετήρηται δὲ τοῖς πολλοῖς, ὡς εἴγε χειμάσειε ταύτῃ τῇ ἡμέρᾳ, ἐπιμένει ὡς ἐπίπαν ἡ ταραχὴ τοῦ ἀέρος μέχρις ἡμερῶν λζ' · εἰ δὲ εὐδιάσει, τὸ αὐτὸ συμβαίνει.

ι'. Ἔριφοι ἑῷοι δύνουσι.

κα'. Αἲξ ἑῷος δύνει, ταραχὴ δὲ γίγνεται μετὰ μίαν ἡμέραν.

κγ'. τροπαὶ χειμεριναί.

6 sic etiam M (Nov. 7), sed non recte: Antares enim oritur his diebus, non occidit 22 cf. *Journ. Rom. Stud.*, p. 40 ss.; cave scribas *Πλειοδυσία* (*Catal.*, II, p. 214, 18)

Dec. *Ἀπήλεως* B *Χυάκ* B

EXCERPTA EX CODICE 16 (CROMWELL. 12)

De mansionibus Lunae.

Ad excerpta exilia quae ediderunt Heeg, *Catal.*, V, 3, p. 90 ss. et Cumont, *Catal.*, VIII, 1, p. 217 ss. nunc primum tractatus amplior accedit mansiones duodetriginta a Luna cursu mensili visitatas totidem capitulis describens. Primum nomina earum Arabica et Graeca, sidera, fines indicat, deinde stellam (Iovis, Veneris, Martis, etc.) dominam, a qua mansio naturam (humidam an siccam, benevolam an malignam) accipit, tum praesagia secundum Indos, Dorotheum, Persas, tum horoscopum puerorum et puellarum, denique imagines mansionum (haec omnia nonnumquam mutato ordine) enumerat.

Opusculum igitur e duobus elementis constat, praesagiis cotidianis et zodiaco ut ita dicam lunari (quae de his rebus in *Journ. Hell. Stud.* LXIX, 1949, p. 48 ss. exposui, hic summatim referam). Praesagia huiusmodi optime nota sunt e Lunariis Babyloniorum (cf. Langdon, *Babylonian Menologies and the Semitic Calendars*, 1934, p. 73 ss.; R. Labat, *Hémérologies et ménologies d'Assur*, 1939, p. 50 ss.), Graecorum (inde ab Hes., *Opp. et Dies* v. 767 ss. usque ad opuscula astrologica in codicibus aevi Byzantini servata, cf. *Catal.*, III, p. 32; IV, p. 142; VIII, 4, p. 105; X, p. 121; XI, 1, p. 134; XI, 2, p. 157 et quae de his dixit Cumont, *Ant. Class.*, II, 1933, p. 262 ss.). Quae tamen lunaria cum praesagia simillima continent, tum ab opusculo codicis Cromwelliani eo differunt, quod crescentem et decrescentem Lunam sequuntur, non eius coniunctionem cum sideribus. Propius mansionum doctrinam accedunt opera quae περὶ καταρχῶν scripta sunt: quamquam mansionum nullam mentionem faciunt, signa tamen cycli zodiaci secundum Lunae cursum dissecant et hae sectiones non nisi nomine a mansionibus differunt (cf. e.g. Maxim. π. καταρχῶν p. 80, 18; 82, 15; 84, 1, etc., ed. Ludwich).

Quae opusculum de fontibus doctrinae indicat, coniungenda sunt cum eis, quae aliunde innotuerunt. Opusculum enim non est plane ignotum. 1) Formam eius aliam edidit Camerarius, *Astrologica* (Norimbergae 1532), p. 31-36: Ἡ Σελήνη τί δηλοῖ ἐφ' ἑνὶ ἑκάστῳ ζῳδίῳ τὴν πάροδον ποιουμένη, quae nomina, imagines mansionum omittit, fontes praesagiorum non discernit, praesagia hic illic contrahit. Quibus rebus sermoneque Graeco examinatis hanc versionem non ex ampliore codicis Cromwelliani pendere sed et hanc et illam diversas versiones eiusdem fontis Arabici esse mihi persuasi. 2) Tertia versio, quae est Latina, repperitur in opere auctoris Arabici, Albohazen Haly filii Abenragel, quod inscribitur « *De iudiciis astrorum libri octo* »

(ed. a. 1485; 1501; 1551; 1571), ubi l. VII, c. 101 « *de electionibus secundum motum lunae per mansiones* » cum opusculo nostro magnam partem conspirat, omittit tamen horoscopos, praesagia Persarum, descriptiones imaginum, atque praesagia hic breviora illic ampliora quam Cromwellianus continet. Hic textus Latinus, ut vidit V. Stegemann, *Beiträge zur Geschichte der Astrologie*, I, 1935, p. 10 ss. (cf. etiam Bidez-Cumont, *Les Mages hellénisés*, II, p. 233 s.) a. 1256 e lingua Castiliana versus est, atque forma Castiliana ex opere Arabico illius Abenragel pendet, qui saeculo XI floruit et cuius codices nonnulli exstant, e.g. Mus. Brit. Add. 23399. Quae cum ita sint, archetypus codicis Cromwelliani codex Arabicus simillimus, illuminatus tamen (cf. quae supra de imaginibus dixi) erat.

Haec textus historia opusculo ipso et confirmatur et suppletur. Confirmatur enim nominibus mansionum Arabicis servatis et suppletur fontibus antiquioribus commemoratis (vide supra). Verisimile tamen non est Abenragel ipsum hos fontes omnes adiisse, sed Arabes textum a Persis, Persas ab Indis, Indos a Graecis, i.e. a Dorotheo Sidonio, recepisse et auxisse. Quod si verum est, codex Cromwellianus doctrinam Graecam saeculi p. Chr. n. primi, sed varie auctam et depravatam nobis tradidit. Dorotheus ipse auctor est probabilissimus, cum sit auctor principalis doctrinae de electionibus (περὶ καταρχῶν), quam cum doctrina mansionum cohaerere iam supra vidimus. Sed cum alia et firmiora vestigia apud Graecos non exstent et nomen Dorothei medio aevo saepe sine auctoritate laudatum sit, origo Graeca doctrinae teste solo Cromwelliano non est confirmata (cf. Cumont, *Catal.*, VIII, 1, p. 217): i.e. dubitari licet, utrum Indi, Persae, Arabes doctrinam a Graecis, an a Babyloniis acceperint.

Attamen Graecos mansiones novisse his rationibus nisus affirmaverim: 1) Sectiones caelestes, quibus Dorotheus, Maximus, alii in operibus περὶ καταρχῶν usi sunt, ut supra vidimus, non signis sed mansionibus respondent, etiamsi nomina ipsa commemorata non sunt. 2) Nomina mansionum Coptica, quae Athanasius Kircher, *Lingua Aegyptiaca restituta*, 1634, p. 50 ss.; 560 ss.; id., *Œdipus Aegyptiacus*, 1653, II, 2, p. 241 ss. e « *Scala Magna* » codicis Vaticani Coptici 71 publici iuris fecit, origine sunt Graeca (exceptis tribus quae sunt vere Coptica), nusquam Arabica. Cum tamen lingua Coptica inde a saeculo p. Chr. n. septimo a dominis Aegypti Arabicis supprimebatur, Aegyptios nomina a Graecis ante hoc tempus, et non a Graecis aevi Byzantini, recepisse necesse est. 3) In Pap. Mus. Brit. 121 (saec. p. Chr. n. IV), 780 ss. (= *P.G.M.* II, p. 34 Preisendanz; cf. Reitzenstein, *Poimandres*, p. 262 ss.) Luna invocatur, ut magicae cuidam actioni adsit; invocatur inter alia cum suis animalibus imaginibus duodetriginta (bos, vultur, taurus, scarabaeus, accipiter, cancer, canis, etc.), quae symbola cotidiana Lunae erant, ut docet fragmentum Lunarii Orphici (frg. 273 K.) symbolum primi diei, unicornem, commemorans. Quae imagines quodam modo ex Aegypto usque ad Sinarum regiones pervenerunt et in astrologia Sinica cum

mansionibus coniunctae erant (cf. Boll, *Der ostasiatische Tierzyklus im Hellenismus*, *T'oung Pao*, XIII, 1912, p. 699 ss.).

Sed mansiones non a Graecis primum excogitatas esse inde colligitur, quod Indi aevi Vedici eis iam usi sunt (cf. G. Thibaut, *Astronomie, Astrologie u. Mathematik* [Grundriss d. indo-arischen Philologie, III, 9, 1899], p. 12 s.; Macdonell-Keith, *Vedic Index* I, p. 409 ss.): quamobrem et Indi et Graeci doctrinam a Babylonia sumpsisse videntur. Vestigia tamen Babylonica mansionum exstant nulla nisi Lunaria (cf. Langdon, *l.c.*; R. Labat, *l.c.*) atque inscriptio Babylonica Musei Britannici 86378, saeculi a. Chr. n. VI (cf. Bezold, *Zenit- u. Aequatorialgestirne am babylonischen Fixsternhimmel*, *Sitz.-Ber. Heidelberg*, 1913, 11. *Abh.*, p. 36 s.; 57; Weidner, *Amer. Journ. Sem. Lang.* XL, 1923, p. 192; id. *Arch. f. Orientforsch.* VII, 1931-32, p. 174; Albright-Dumont, *Journ. Amer. Or. Soc.*, LIV, 1934, p. 125), ubi sidera septemdecim, quae luna cursu mensili visitat, enumerantur: recte enim viri docti coniecerunt inscriptionem partim doctrinam mansionum veterum, partim cycli novi zodiaci servare.

Restat ut de mansionum memoria quaedam addam. Apud Arabes eminet Albiruni, *Chronology of the Ancient Nations*, ed. E. Sachau, 1879, p. 343 ss.; opuscula quae in codicibus Latinis latent primus collegit Steinschneider, *Zeitschr. d. Deutschen Morgenländ. Ges.* XVIII, 1864, p. 118 ss.; cf. nunc Thorndike, *History of Ancient Magic*, I, p. 693 s.; 712 ss. etc.; nomina et doctrinam examinaverunt Ideler, *Untersuchungen über den Ursprung u. d. Bedeutung der Sternnamen* 1809, p. 286 ss.; Ginzel, *Klio*, I, 1901, p. 20 ss.; id. *Chronologie*, I, p. 70 ss.; Nallino, *Raccolta di scritti*, V, 1944, p. 175 ss.; Stegemann, *Handwörterb. d. deutschen Aberglaubens*, VII, p. 49 ss. De mansionibus veteribus Indorum egerunt A. Weber, *Die vedischen Nachrichten von den naxatra*, *Abh. Akad. Berlin*, 1860, p. 283 ss.; 1861, p. 267 ss.; Thibaut, l. c.; Macdonell-Keith, l. c.; de doctrina eorum recentiore, quam saeculo p.Chr. sexto exposuit Varāha-Mihira, cf. H. Kern, *Verspreide Geschriften*, I, p. 99 ss.; II, p. 135 ss. Mansiones apud Persas enumerantur in Bundahesh c. 2 (cf. ed. Justi; Windischmann, *Zoroastr. Stud.* p. 59; Henning, *Journ. Royal Asiat. Soc.* 1942, p. 242 ss.); apud Sinas cf. Schlegel, *Uranographie chinoise* 1875, p. 583. Imagines mansionum exstant in cod. Urbinat. lat. 1384, saec. xv (cf. Stornajolo, *Codd. Urbin. lat.* III, p. 297 s.), in cod. Guelferbyt. 29. 14 Aug. 40, saec. xv (cf. A. Hauber, *Planetenkinderbilder u. Sternbilder* 1916, p. 77 s.), Indicae apud W. Kirfel, *Religion der Jaina's* (Haas, *Bilderatlas d. Religionsgesch.*, fasc. XII, 1928), fig. 19; Sinae apud Boll, *l.c.* fig. IV; sed imagines plurimae in codicibus Arabicis adhuc latent.

Textus qui sequitur solo Cromwelliano (= C) nititur; versiones tamen et a Camerario editam (= K) et Latinam operis Abenragelis (= A) laudavi ubicumque correctiorem, rarius ubi ampliorem, textum praebent; mansionum nomina Arabica nusquam fere mutavi, addidi tamen in apparatu critico nomina ab Albiruni accepta (= B).

P. 402. *Αἱ εἴκοσι ὀκτὼ μοναὶ τῆς Σελήνης ἔχουσι οὕτως.*

Ἡ πρώτη μονὴ καλεῖται Σουρτάιν <ἤτοι τὰ κεράτια τοῦ Κριοῦ>· ἐστὶ δὲ τοῦ Διός, ἀπὸ τῆς πρώτης μοίρας τοῦ Κριοῦ μέχρι τῆς ιβ' αὐτοῦ καὶ λεπτῶν ια' κς''. Λέγουσιν οἱ Ἰνδοί· ὅτε ὑπάρχει ἡ Σελήνη εἰς τὴν τοιαύτην μοῖραν, ποτὸν πίνειν ἀγαθόν, ἄλογα καβαλλικευόμενα χλοάζειν καὶ γυμνάζειν καὶ ἐξωνεῖσθαι καὶ ταξιδεύειν· τὸ μέντοι τέλος τῆς πρώτης ἡμέρας τῆς εἰς τὴν τοιαύτην μοῖραν εἰσόδου τῆς Σελήνης λέγουσιν εἶναι κακόν. Ὁ δὲ Δωρόθεος λέγει ἐναντίον εἶναι εἰς συνάλλαγμα γαμικόν, ἀλλὰ καὶ τὸ ὅλον ζῴδιον τοῦ Κριοῦ· ἐναντίον δὲ καὶ εἰς ἀγορὰν δούλων· ὕποπτοι γάρ εἰσιν εἰς φυγήν. καλὸν δὲ εἰς τὸ διὰ θαλάσσης ταξιδεύειν· καλῶς γάρ, φησί, πλέει· κοινωνίαν δὲ ποιεῖν οὐκ ἀγαθόν. Οἱ Πέρσαι λέγουσιν· ἀγαθὸν ἅρματα εὐθειάζειν καὶ δένδρα φυτεύειν, ὄνυχάς τε καὶ τρίχας κόπτειν καὶ συγκοπὴν ἱματίων καινῶν καὶ φορεῖν αὐτὰ καὶ ἄλογα γυμνάζειν· οὐκ ἀγαθὸν δὲ ἀγοράζειν δούλους ἢ κοινωνίαν ποιεῖν. ἐν τῇ τοιαύτῃ γὰρ μονῇ δύο εἰσὶ ἀστέρες εἰς τὸ β' τοῦ Κριοῦ κεράτιον. ἐστὶ δὲ ἡ μονὴ πυρώδης καὶ κακοποιός. καὶ ἐὰν γενέθλιον ἐν αὐτῇ γένηται, ἐπὶ μὲν ἀρρενικῶν κακὸν καὶ πόρνον σημαίνει καὶ ἀκατάσχετον κατὰ τὸν βίον καὶ ἐπίψογα τὰ ἔργα αὐτοῦ· εἰ δὲ θηλυκόν, μυστικοπορνείας ἐργαζόμενον· οἱ δὲ ἄνδρες ἐπιθυμηταὶ αὐτῆς εἰσιν, αὐτῆς τοῦτο μὴ ἀπ γορευούσης, ἀλλὰ καὶ σπουδαζούσης. Ἡ ἱστορία αὐτῆς· δύο γυναῖκες πρὸς ἀλλήλας νεύουσαι, κεκοσμημέναι στολῇ· τὰ ἱμάτια αὐτῶν κόκκινα μέχρι τῆς ζώνης, τὰ δὲ λοιπὰ βένετα.

Ἡ δευτέρα μονὴ λέγεται <Πουτάιν ἤγουν> κοιλία <τοῦ Κριοῦ>· ἐστὶ δὲ τῆς Ἀφροδίτης, ἀπὸ τῆς ιβ' μοίρας καὶ λεπτῶν ια' κς'' μέχρι κε' μοίρας τοῦ αὐτοῦ ζῳδίου καὶ λεπτῶν μβ' ιβ''. ταύτην τὴν μονὴν πυρώδη καὶ ξηρὰν καὶ ἀγαθοποιόν φασιν. ἐὰν οὖν τῆς Σελήνης οὔσης ἐν αὐτῇ ἀρρενικὸν γενέθλιον γένηται, ἀγαθὸν καὶ ἐνάρετον καὶ μυστηρίων φύλακα καὶ ἐπαινετὸν σημαίνει καὶ εὐζῴιαν ἔχοντα, ἐχθροὺς δὲ ἔχειν πολλούς. εἰ δὲ θηλυκόν, ἀναίσχυντον καὶ κακὴν καὶ μαινομένην ὑπὸ τῶν ἀνδρῶν

3 *Alsharatân* et *Alnath* B : *Ilnath* A supplevi, cf. 18 7 *καββαλοκ.* C *χλοίζ.* C 20 *πόρνον* K : *-ην* C 22 *ἐπιθυμητοὶ* C : corr. Delatte 27 supplevi : *Albutain* B : *Albethain* A *κοιλοία* C 34 *ὑπὸ* Delatte : *ἀπὸ* C

σημαίνει. Οἱ Ἰνδοὶ λέγουσιν · ὅταν ἡ Σελήνη [εἰς] τὴν τοιαύτην μονὴν καταλάβῃ, σπείρειν ἀγαθὸν καὶ φυτεύειν ἀμπελῶνας καὶ κάστρα κτίζειν. Δωρόθεος δέ φησιν · ἐναντία εἰς συναλλάγματα καὶ ἀγορὰν δούλων. εἰ δὲ καὶ ἄνθρωπος κατασχεθῇ ἐν αὐτῇ οὔσης τῇ μονῇ, ἰσχυρὰ καὶ χρόνιος γίνεται ἡ φυλακή. ἀγαθὸν δὲ διὰ θαλάσσης ἀποδημεῖν. Οἱ Πέρσαι φασίν · ἀγαθὸν ἅρματα εὐθειάζειν, οὐκ ἀγαθὸν δὲ πόμα πίνειν. ἐν ταύτῃ τῇ μονῇ τρεῖς ἀστέρες εἰσὶ μικροὶ ἐν τῇ κοιλίᾳ τοῦ Κριοῦ. Ἡ δὲ ἱστορία · γυνὴ γυμνὴ μέχρι τοῦ ὀμφαλοῦ μετὰ στέμματος, κατέχουσα ἐν ταῖς χερσὶν αὐτῆς μῆλα χρυσᾶ · ὑποκάτωθεν δὲ τοῦ ὀμφαλοῦ τροχοὶ βένετοι δύο ἔχοντες τὸν ῥυμίον, ἔνθεν κἀκεῖθεν τῶν τροχῶν κοκκινόχρυσον, οἱ δὲ τροχοὶ ἡνωμένοι.

Ἡ τρίτη μονὴ λέγεται Θορρία ἤτοι τὸ ἔξαστρον · τοῦ Ἄρεως ἐστίν, ἀπὸ τῆς κε′ τοῦ Κριοῦ μοίρας λεπτῶν μβ′ ιβ″, μέχρι τῆς η′ μοίρας Ταύρου καὶ λεπτῶν λδ′ β″. Οἱ Ἰνδοὶ λέγουσιν, ὅτι, ὅταν ἡ Σελήνη καταλάβῃ τὴν τοιαύτην μονήν, ἐπιτίθεσθαι ἐχθροῖς ἀγαθόν, ταξιδεύειν μέσον. Ὁ Δωρόθεος λέγει · ἐναντίον ἐστὶ συναλλάσσειν γαμόν · ἀγαθὸν δὲ ἵππους ἐξωνεῖσθαι καὶ ῥοίζειν αὐτούς · οὐκ ἀγαθὸν δὲ πλέειν, δηλοῖ γὰρ εἶναι δυσχερῆ τὸν πλοῦν καὶ κυματώδη · ἀλλὰ καὶ τὸ κοινωνίαν ποιεῖν, ταραχαὶ γὰρ μέσον τῶν κοινωνούντων γενήσονται. αἰχμαλώτοις καὶ φυλακιστοῖς ἀργεῖν τὴν ἐλευθερίαν φησίν. ἐὰν δὲ προφάσει χρημάτων τὸν φυλακιστὸν κατάσχωσιν καὶ τῶν χρημάτων καταβαλλομένων, οὐκ ἐλευθεριάσουσιν. ἀγαθὸν δὲ εἰς τὰ ἔργα τοῦ πυρὸς καὶ εἰς τὸ κυνηγετεῖν διὰ πάρδων καὶ σκυλίων · καὶ εἰς τὸ ποιεῖν διαδόσεις ψυχικάς · βόας δὲ καὶ πρόβατα καὶ δούλους ἐξωνεῖσθαι οὐκ ἀγαθόν, ὥσπερ οὐδὲ σπείρειν οὐδὲ δένδρα φυτεύειν οὐδὲ καινούργια φορεῖν. αὕτη δὲ ἡ μονὴ ἀγαθή ἐστιν, ἐπεὶ συγκιρνᾶται διὰ θερμότητος καὶ ψυχρότητος. καὶ τὰ γενέθλια ἐν αὐτῇ οὔσης τῆς Σελήνης ἀγαθὰ καὶ εὐτυχῆ καὶ χρήσιμα καὶ καλοθελῆ σημαίνει, πλὴν οὐ βίου ὑψηλοῦ, ἀλλὰ πενιχροῦ. Ἡ ἱστορία · γυνὴ ἐστολισμένη πρασινοφόρον μέχρι τοῦ ὀμφαλοῦ, τὰ ἱμάτια ταύτης κόκκινα · γυμναῖς χερσὶ μέχρι τοῦ ὄγκωνος μῆλα κατέχουσα.

Ἡ τετάρτη μονὴ λέγεται Παρᾶν ἤγουν ὁ λαμπρὸς τῶν Ὑάδων · καί ἐστι τῆς Ἀφροδίτης, ἀπὸ τῆς η′ μοίρας τοῦ Ταύρου καὶ

1 *εἰς* C : seclusi 2 *σπέρειν* C (et sic semper) 11 *ῥυμ.*] (= *temo*) Delatte : *ῥιμμιόν* C 13 *Althurayyâ* et *Alnajm* B : *Athoraie* A 21 *φυλακίταις* C : corr. Delatte 23 *φυλακίτην* C : corr. Delatte 29 praesagia Persarum omissa sunt 32 *τούτης* C 34 *Aldabaran* et *Alfanik* B : *Ad dauennam* A

λεπτῶν λδ′ β″ ἄχρι τῆς κα′ μοίρας τοῦ αὐτοῦ καὶ λεπτῶν κε′ δ″. αὕτη ἡ μονὴ γαιώδης, ξηρά, κακοποιός. τὸ ἀρρενικὸν γενέθλιον ἐν αὐτῇ κακοθελὲς καὶ ταραχῶδες σημαίνει καὶ λῃστήν · τὸ δὲ θῆλυ, πορνικὸν καὶ ἀναίσχυντον καὶ μαινόμενον ὑπὸ τῶν ἀνδρῶν · ἀστέργως δὲ καὶ αὐτὰ μετ' αὐτῶν. <Οἱ Ἰνδοὶ λέγουσιν ·> σπείρειν ἀγαθὸν καὶ στολίζεσθαι γυναῖκα, ἀγαθὸν ἱμάτια καινὰ φορεῖν, κάστρα κτίζειν καὶ ταξιδεύειν, ἄνευ μέντοι τῆς ἀρχῆς τῆς πρώτης ἡμέρας καὶ τοῦ τέλους αὐτῆς. Δωρόθεος λέγει, ὅτι οὐκ ἀγαθὸν γαμὸν ποιεῖν · καὶ ἐὰν γένηται, πόρνη ἡ γυνὴ ἔσται. ἀγαθὸν δούλους ἐξωνεῖσθαι · πιστοὺς γὰρ καὶ ταπεινοὺς καὶ ἀγαθῆς ψυχῆς ὄντας σημαίνει. καὶ κτίσιν ποιεῖν ἀγαθὸν καὶ τετράποδα ἐξωνεῖσθαι, ἀλλὰ μὴ ἀγύμνια. οὐκ ἀγαθὸν δὲ ταξιδεύειν διὰ θαλάσσης · ἐπικίνδυνον γάρ. κοινωνίαν ποιεῖν <...> εἴ τις δὲ αἰχμαλωτισθῇ ἢ φυλακισθῇ, ἀργήσει ἐν τῇ αἰχμαλωσίᾳ ἢ τῇ φυλακῇ καὶ μόλις διὰ χρημάτων ἐλευθερωθήσεται. ὁ αὐτός φησι · καλὸν εἰς πάντα ἄνευ γάμου. Οἱ Πέρσαι <λέγουσιν> · ἐπαινετόν ἐστιν εἰς τὸ ποιῆσαι στολὴν πλὴν γάμον καὶ πλόον. ἐν αὐτῇ τῇ μονῇ εἷς ἐστι λαμπρὸς ἀστὴρ εἰς τὸν ὀφθαλμὸν τοῦ Ταύρου. Ἡ ἱστορία τῆς αὐτῆς μονῆς · ἔλαφοι δύο ἀλλήλων ἀπόστροφοι, ἐστραμμένας τὰς κεφαλὰς ὡς ὁρᾶν ἀλλήλους.

Ἡ πέμπτη μονὴ καλεῖται Ἄκγα ἤτοι ἀκρίς · ἐστὶ δὲ αὕτη τῆς Σελήνης, ἀπὸ τῆς κα′ μοίρας τοῦ Ταύρου καὶ λεπτῶν κε′ δ″ ἄχρι τῆς δ′ μοίρας τῶν Διδύμων καὶ λεπτῶν ιζ′ ι″. αὕτη ἡ μονὴ πυρώδης καὶ ξηρά, ἀγαθοποιὸς καὶ κακοποιὸς ἤτοι μέση. καὶ τὸ ἀρρενικὸν γενέθλιον ἐν αὐτῇ ψεκτόν, τὸ θῆλυ ἐπαινετὸν καὶ ἥσυχον καὶ βίου πενιχροῦ καὶ ἀπὸ τῶν ἀνδρῶν ἔχει τιμήν. Οἱ Ἰνδοὶ λέγουσιν, ὅτι τῆς Σελήνης οὔσης ἐν ταύτῃ καλὸν δίδοσθαι παῖδας εἰς τὸ μανθάνειν καὶ ἰατρείας ἀπάρχεσθαι καὶ ταξιδεύειν, ἄνευ μέντοι τῆς ἀρχῆς τῆς ἡμέρας. Δωρόθεος λέγει · καλὸν ἵππους ἐξωνεῖσθαι · ἔσονται γὰρ ἥμεροι καὶ καλοί · ἀγαθὸν δὲ κτίζειν καὶ πλέειν καὶ κοινωνίας ποιεῖν · εἴ τις μὲν ἀποκλεισθῇ, ἀργήσει μέν, ἀλλὰ ἀπολυθήσεται. καλὸν κόπτειν τρίχας καὶ ὄνυχας καὶ καλλωπίζεσθαι καὶ δούλους ἐξωνεῖσθαι.

3 *κακοθελῆ κ. ταραχώδη* C : *-ες* K 5 suppl. A 6 *καινὰ* Boer : *καὶ* C 12 *ἀγ.* vix sanum 13 lacunam indicavi : *et societas in ea est mala et maxime cum potentiori eo quia non separabitur ab eo nisi cum labore ac poena* A 16 *εἷς* scripsi : *εἰσι* C supplevi 17 *ποιεῖσαι* C *πλόος* C 19 *ἀλλήλους* C : corr. Delatte 21 *Alhak'a* B : *Alhathaya* A 22 *δ″* K : *μδ″* C : 44 A 30 *ἵππους* C : *servos* A 32 *ἀργήση* C

Οἱ Πέρσαι λέγουσιν· καλὸν εἰς ἀπαίτησιν χρημάτων καὶ εἰς ταξίδιον, ἐναντίον ἐστὶ διαλέγεσθαι καὶ δικάζεσθαι. ἐν ταύτῃ τῇ μονῇ τρεῖς ἀστέρες εἰσίν. Ἡ ἱστορία· γυνὴ ἡπλωμένας τὰς χεῖρας ἔχουσα, καββάδιον ἐοικυῖα φορεῖν κόκκινον καὶ ἐπιστήθιον βένετον.

Ἡ ἕκτη μονὴ καλεῖται Ἄνγα ἤτοι ποῦς Διδύμου· ἐστὶ τοῦ Ἡλίου, ἀπὸ τῆς δ′ μοίρας καὶ λεπτῶν ιζ′ ι″ τῶν Διδύμων ἄχρι ιζ′ μοίρας αὐτῶν καὶ λεπτῶν η′ λς″. αὕτη ἡ μονὴ πνευματώδης, ἀλλὰ ἀγαθοποιός· τὸ ἀρρενικὸν γενέθλιον καλὸν καὶ ἐπαινετὸν καὶ ἀγαπώμενον παρὰ τῶν ἀνθρώπων, καὶ τὸ θηλυκὸν ὁμοίως ἀγαπώμενον ἀπὸ τῶν ἀνθρώπων καὶ πρὸς ἐπιμιξίαν ῥέπει κατὰ πολὺ τοῦ ἄρρενος· μυστικῶς δὲ ἐργαζόμενον τὰ ἐναντία. Οἱ Ἰνδοὶ λέγουσιν· ὅταν ἡ Σελήνη ᾖ ἐν ταύτῃ τῇ μονῇ, ἀγαθὸν προσκυνεῖν τοὺς βασιλεῖς, κουρσεύειν διὰ νυκτὸς καὶ παρακαθῆσθαι κάστρα καὶ κατ᾽ ἐχθρῶν διὰ μηχανῆς ἐπιχειρεῖν· ἐναντίον δὲ εἰς τὸ σπείρειν καὶ εἰς τὸ ζητεῖν παρακαταθήκην. Δωρόθεος λέγει· ὅστις πλεύσει, ταχέως μὲν ἀπελεύσεται, βραδέως δὲ ἐπανήξει· καὶ ἡ κοινωνία ἐπωφελὴς καὶ μετὰ φόβου θεοῦ· ὁ κρατηθεὶς ἐν φυλακῇ, εἰ μὴ διὰ τριῶν ἡμερῶν ἀπολυθῇ, οὐκ ἐλευθερωθήσεται· καὶ εἰς κυνηγέσιον θηρίων ἀγαθόν, κακὸν πιεῖν πόμα καὶ θεραπεύειν πληγάς, ἀλλὰ καὶ καινούργια φορέσαι ἱμάτια· φόβον γὰρ ἔχει θανάτου. Οἱ Πέρσαι λέγουσιν· ἀγαθὸν φρέαρ ὀρύσσειν καὶ ἐναντίον διατίθεσθαι. ἐν τῇ αὐτῇ μονῇ δύο ἀστέρες εἰσίν. Ἡ ἱστορία ὅμοια τῇ α′· ἐναλλὰξ ἔχουσι τὰς βαφάς.

Ἡ ἑβδόμη μονὴ καλεῖται Δρείγ ἤγουν ὁ πῆχυς· ἐστὶ δὲ τοῦ Κρόνου, ἀπὸ τῆς ιζ′ μοίρας τῶν Διδύμων καὶ λεπτῶν η′ λς″ ἄχρι τῆς α′ μοίρας τοῦ Καρκίνου ἤγουν τοῦ τέλους τῶν Διδύμων. αὕτη ἡ μονὴ πνευματώδης καὶ ἀγαθοποιός· τὸ ἀρρενικὸν γενέθλιον σημαίνει εὐφυές, δεξιόν, εὐμήχανον, εὐτυχὲς καὶ χρήματα εὐμοιροῦν ἀπὸ διαφόρων ὑποθέσεων, τὸ δὲ θῆλυ κρυπτῶς πορνεῦον καὶ μεταγινῶσκον. Οἱ Ἰνδοὶ λέγουσιν· ἀγαθὸν σπείρειν καὶ σφάττειν πρόβατα καὶ φορέσαι ἱμάτια καινούργια καὶ γυναῖκας στολίζεσθαι καὶ καβαλλικεύειν ἐφ᾽ ἵππους καὶ ταξιδεύειν, ἄνευ μέντοι τοῦ τρίτου τῆς μοίρας τοῦ τελευταίου.

---

4 cf. Du Cange s.v. *καβάδη* *ἐπιστήθιο* C (pars pectoralis videtur vestimenti) 6 *Alhan'a* B : *Alhana et dicitur Atabuen* A 21 *φορέσσας* C 25 *Aldhirâ* B : *Addirach* A 29 *εὐτυχὲς* K : -*ῆ* C 30 *εὐμοιρῶν* C 33 *εἰς τὸ στολ.* C

Δωρόθεός φησιν· εἴ τις πλεύσει, καλῶς καὶ μετὰ θάρρους πλεύσει καὶ καλῶς διασωθήσεται κἂν βραδέως· ἡ κοινωνία ἀγαθὴ καὶ πιστή· ἔσται γὰρ μετὰ φόβου θεοῦ· ὁ φυλακισθείς, εἰ μὴ διὰ τριῶν ἡμερῶν ἀπολυθῇ, ἐν τῇ φυλακῇ ἀποθανεῖται· ἀγαθὸν τρίχας καὶ ὄνυχας κόπτειν, συγκόπτειν νέα ἱμάτια καὶ φορεῖν αὐτά, δούλους καὶ ἄλογα ἐξωνεῖσθαι καὶ ἀγάπην μετ᾽ ἐχθρῶν συνιστᾶν καὶ ταξιδεύειν· ἐναντίον δὲ ἀγοράζειν ἀκίνητα καὶ ἰατρεύσασθαι. Οἱ Πέρσαι λέγουσιν· καλὸν εἰς πρᾶξιν ποιεῖσθαι χρημάτων, κακὸν δὲ διαλέγεσθαι καὶ δικάζεσθαι. ἐν αὐτῇ δύο εἰσὶν ἀστέρες μεγάλοι καὶ μέσον αὐτῶν μικρότερος. Ἡ ἱστορία· ἀνὴρ κόκκινον φορῶν καμελαύκιον, τὴν μὲν δεξιὰν χεῖρα ἔχων ἡπλωμένην εἰς τὰ ἔμπροσθεν, τὴν δὲ ἀριστερὰν ὄπισθεν κάτω νεύουσαν καὶ τοὺς πόδας διεστῶτας, καββάδιον φορῶν μαυροπράσινον κοντόν.

Ἡ ὀγδόη μονὴ καλεῖται Νάθρα ἤτοι ἡ μύτη τοῦ Λέοντος· καὶ ἔστι τῆς Σελήνης, ἀπὸ τῆς πρώτης μοίρας τοῦ Καρκίνου ἄχρι τῆς ιβ′ λεπτῶν ια′ κς″ τοῦ αὐτοῦ ζῳδίου. ἐστὶ δὲ ὑγρὰ καὶ ὑδατώδης, συγκεκραμένη ἀπὸ ἀγαθοποιοῦ καὶ κακοποιοῦ· τὸ ἀρρενικὸν γενέθλιον σημαίνει ταραχῶδες καὶ δικασιμώτερον καὶ τὴν ζωὴν εὐχερῶς ἐπισυνάγον καὶ καθελόν, τὸ δὲ θηλυκὸν χρήσιμον καὶ ἐπαινετὸν καὶ ἀγαθοθελὲς καὶ ἐπιθυμητὸν τοῖς ἀνδράσιν, ἀλλὰ καὶ αὐτὸ ἐπιθυμίαν ἔχον τῶν ἀρρένων. Οἱ Ἰνδοὶ λέγουσιν· ὅταν ἡ Σελήνη εἰς τὴν αὐτὴν ἔλθῃ μονήν, μὴ σπείρειν, μὴ ταξιδεύειν διὰ ξηρᾶς, μὴ δανείζειν, μὴ ἐπιχειρεῖν κατά τινος. Δωρόθεος λέγει· καλὸν διὰ θαλάσσης ταξιδεύειν, ποιῆσαι τὴν ἀποδημίαν κατὰ τὸ θέλημα καὶ συντόμως ὑποστρέψαι· κοινωνίαν ποιεῖν οὐκ ἀγαθόν· δωρεὰν γὰρ γενήσεται καὶ ταραχώδης· ὁ κατασχεθεὶς ἀργήσει ἐν τῇ φυλακῇ· συγκόπτειν καὶ φορεῖν νέα ἱμάτια οὐκ ἀγαθόν· πνιγήσεται γὰρ μετ᾽ αὐτῶν· μήτε μὴν τρίχας κόπτειν καὶ ὄνυχας· ἀγαθὸν δὲ κλητορεύειν καὶ διὰ νυκτὸς κουρσεύειν καὶ ψήφους ποιεῖν καὶ λογαριάζειν. Οἱ Πέρσαι λέγουσιν, ὅτι ἀγαθὸν λίθους καὶ μαργαρίτας ἐξωνεῖσθαι, ἐναντίον δὲ κτίζειν καὶ σπείρειν. ἐν ταύτῃ τῇ μονῇ δύο ἀστέρες εἰσί. Ἡ ἱστορία· κυνοκέφαλος τὴν κεφαλὴν μαύραν ἔχων, τὰς χεῖρας

---

11 *καμελ.*] « *capitis tegumentum* » (Du Cange) 12 *χεῖραν* C 15 *Alnathra* et *Allaha* B : *Alnayra* A *μύτη*] cf. Du Cange s.v. *μήτη, μίτη* « *nasus* » (*μυκτήρ*) 17 *ἔστω* C 19 *ταραχώδη* C *δικασιμάτερον* C 22 *ἔχειν* C 25-31 haec A ad nonam mansionem refert 28 *κατασχεθεῖν* C

ἡπλωμένας ἔχων, μετὰ τὸν ὀμφαλὸν τροχὸν βένετον ἔνθεν κἀκεῖθεν, ὡσεὶ πτερὰ κόκκινα ἄνω κλίνοντα.

Ἡ ἐνάτη μονὴ καλεῖται Τάρφ ἤτοι ὁ ὀφθαλμὸς τοῦ Λέοντος. εἰσὶ δὲ ἀστέρες δύο, κράσεως τοῦ Κρόνου, ἀπὸ τῆς ιβʹ μοίρας τοῦ Καρκίνου καὶ λεπτῶν ιαʹ κςʹʹ ἄχρι τῆς κεʹ μοίρας καὶ λεπτῶν ιβʹ ιαʹʹ τοῦ αὐτοῦ. γαιώδους ἐστὶ κράσεως καὶ κακοποιοῦ· τὸ ἀρρενικὸν γενέθλιον πτωχὸν καὶ ζῶν δι' ἐργοχείρου, πολλὰ μηχανώμενον πρὸς τὸ πορίζεσθαι τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα· τὸ θηλυκὸν πόρνη καὶ ἀτυχῶν γονέων. Οἱ Ἰνδοὶ λέγουσιν· καβαλλικεύειν καὶ ταξιδεύειν καὶ χρήματα πέμπειν εἰς πράγματα ἀγαθόν. Δωρόθεος λέγει· καλὸν ἵππους ἐξωνεῖσθαι καὶ ταξιδεύειν· πρὸς γὰρ τὸ θέλημα ἀπαντήσει τὸ ταξίδιον· φλεβοτομεῖν καὶ σικνάζειν οὐκ ἀγαθόν, ὥσπερ οὐδὲ διὰ σιδήρου καίειν. Οἱ Πέρσαι λέγουσι· καλὸν κοινωνεῖν, ἐξωνεῖσθαι, κακὸν δὲ φλεβοτομεῖν καὶ σικνάζειν καὶ ἁπλῶς σιδήρῳ χρῆσθαι, καλὸν δὲ ταξιδεύειν διὰ θαλάσσης καὶ πραγματεύεσθαι καὶ δούλους ζητεῖν. Ἡ ἱστορία· Νεραὶς οὖσα γυμνὴ μέχρι τοῦ ὀμφαλοῦ, τὰς χεῖρας ἡπλωμένας ἔχουσα καὶ κρατοῦσα διὰ τῆς ἀριστερᾶς χειρὸς τὴν οὐρὰν αὐτῆς· ἔχει γὰρ τὰ μετὰ τὸν ὀμφαλὸν ὀψαρίου κορμὶν νεῦον πρὸς τὴν ἀριστερὰν χεῖρα αὐτῆς.

Ἡ δεκάτη μονὴ καλεῖται Τζάπα αʹ ἤγουν τὸ μέτωπον τοῦ Λέοντος. εἰσὶ δὲ ἐν αὐτῇ ἀστέρες τέσσαρες· ἐστὶ δὲ τοῦ Ἄρεως, ἀπὸ τῆς κεʹ μοίρας Καρκίνου καὶ λεπτῶν ιβʹ ιαʹʹ ἄχρι τῆς ηʹ μοίρας τοῦ Λέοντος καὶ λεπτῶν λδʹ ιηʹʹ. ὑγρά, συμμιγὴς θερμότητι, ἀγαθοποιός, νεύουσα πρὸς τὸν κακοποιόν· τὸ ἀρρενικὸν γενέθλιον ἀσκητὴν σημαίνει, τὸ θηλυκὸν ἀναίσχυντον καὶ ἀκόλαστον, ἐπίρρεπον πρὸς τὴν τῶν ἀνδρῶν μῖξιν, πτωχόν. Οἱ Ἰνδοὶ λέγουσιν· καλὸν οὔσης ἐν αὐτῇ τῆς Σελήνης τρύγητον ποιεῖν καὶ νέον πίνειν οἶνον, κακὸν δὲ ταξιδεύειν καὶ δανείζεσθαι καὶ αἰτεῖσθαι χάριν ἀπό τινος καὶ τὸ φορεῖν καινούργια καὶ τὸ στολίζεσθαι. Δωρόθεος λέγει· ὅστις κτίσῃ οὔσης τῆς Σελήνης ἐν τῇ αὐτῇ μονῇ, στερεὸν εἶναι τὸ κτίσμα· καὶ τὴν κοινωνίαν ἐπικερδῆ φησι· ὁ ἐν φυλακῇ ἐκεῖσε ἀργήσει. Οἱ Πέρσαι λέγουσι· καλὸν φλεβοτομεῖν καὶ πραγματεύεσθαι, κακὸν δὲ διαλέγεσθαι καὶ δικάζειν. Ἡ ἱστορία· ἀνὴρ μακρογένειος μετὰ στέμ-

---

3 *Altarf* B : *Attrauif* A 6 γαιώδη C 8 μηχανόμενον C ζεῖν C 9 πόρνην C 20 κορμὴν C : corr. Delatte
21 *Aljabha* B : *Algebhe* A 22 τέσσαρεις C

ματος ἔχων ἐξηρτημένας πτέρυγας μαυροπρασίνους ἀπὸ τῶν παρειῶν καὶ ἀπὸ τοῦ μύστακος πόδας ὀρνέου ἀληθινούς.

Ἡ ἑνδεκάτη μονὴ καλεῖται Ζέμπρα ἤτοι τὰ δύο λαγύνια. εἰσὶ δὲ ἐν αὐτῇ ἀστέρες δύο· ἐστὶ δὲ τῆς Σελήνης, ἀπὸ τῆς ηʹ μοίρας τοῦ Λέοντος καὶ λεπτῶν λδʹ καὶ δευτέρων ιηʹʹ ἄχρι τῆς καʹ καὶ λεπτῶν κεʹ μδʹʹ. πυρώδης καὶ ξηρὰ καὶ ἀγαθοποιός· τὸ ἄρρεν καὶ τὸ θῆλυ γενέθλιον ἐν αὐτῇ εὐτυχὲς καὶ χρήσιμον καὶ καλοάνθρωπον καὶ εὐλογούμενον παρὰ τῶν γονέων καὶ παρὰ τοῦ γένους καὶ παρὰ τῶν ἐν τῷ οἴκῳ καὶ εὐχαριστούμενον καὶ ἐπαινούμενον παρὰ τῶν ἀνθρώπων. Οἱ Ἰνδοὶ λέγουσι· κακὸν αἰχμαλώτους ἐλευθεροῦν, καλὸν παρακαθῆσθαι κάστρον, σπείρειν καὶ φυτεύειν δένδρα καὶ ταξιδεύειν καὶ πραγματεύεσθαι. Δωρόθεος λέγει· τὰ κτίσματα ὀχυρὰ καὶ ἡ κοινωνία ἐπικερδὴς καὶ ὁ ἐν φυλακῇ ἀργεῖ· κακὸν δὲ ἱμάτια νέα φορεῖν καὶ κόπτειν· καὶ ὄνυχας καὶ τρίχας κόπτειν κακόν. Οἱ Πέρσαι λέγουσι· καλὸν χρήματα ἀπαιτεῖν καὶ ταξιδεύειν, ἐναντίον δὲ πόμα πίνειν καὶ ἰατρεύεσθαι. Ἡ ἱστορία· γυναῖκα δύο λαγύνια βαστάζουσα, ἐστολισμένη, γυμνὰς τὰς χεῖρας ἔχουσα, κοκκινοφόρος.

Ἡ δωδεκάτη μονὴ καλεῖται Σαρφὰ ἤτοι ἡ οὐρὰ τοῦ Λέοντος. ἐν αὐτῇ ἐστιν ἀστὴρ εἷς μέγας μετὰ ἐννέα ἄστρων μικρῶν περὶ κύκλῳ· ἐστὶ δὲ κράσεως τοῦ Διός, ἀπὸ τῆς καʹ μοίρας τοῦ Λέοντος καὶ λεπτῶν κεʹ μδʹʹ ἄχρι τῆς δʹ μοίρας τῆς Παρθένου καὶ λεπτῶν ιζʹ ηʹʹ· μικτὴ πυρώδους κράσεως καὶ γαιώδους, κακοποιὸς μετὰ ἀγαθοποιίας· τὸ ἀρρενικὸν γενέθλιον οὔσης ἐν αὐτῇ τῆς Σελήνης κακοθελὲς καὶ στοχαστικὸν δηλοῖ καὶ εὐπρόσδεκτον τοῖς ἀνθρώποις· τὸ θηλυκὸν ἀναίσχυντον καὶ γλωσσῶδες καὶ τῶν ἀνδρικῶν ἐφιέμενον καὶ ἐπίψογον ἀπὸ τῶν ἀνδρῶν. Οἱ Ἰνδοὶ λέγουσιν· ὅταν ἡ Σελήνη ᾖ εἰς τὴν μονὴν ταύτην, καλὸν κτίζειν καὶ ἐπὶ μορτὴν μισθοῦσθαι γῆν, σπείρειν καὶ δένδρα φυτεύειν καὶ συνάλλαγμα γαμικὸν ποιεῖν καὶ καινούργια φορεῖν καὶ στολίζεσθαι· καὶ ταξιδεύειν εἰς τὴν πρώτην καὶ τρίτην ὥραν τῆς ἡμέρας αὐτῆς. Δωρόθεός φησιν· ἐὰν δανείσῃς οὔσης ἐν τῇ αὐτῇ μονῇ τῆς Σελήνης, οὐκ ἀντιστραφήσεταί σοι, ἢ μετὰ ἀνάγκης. ὁ ταξιδεύσας διὰ θαλάσσης πληγωθήσεται, ὁ κοινωνήσας κερ-

---

1 μαυροπράσινον C 3 *Alzubra* B : *Azobrach* A λαγίνια C : scripseris λαγίδια (lepores) 8 περὶ τῶν γονέων C 11 ἐλευθερεῖν C : corr. Delatte 12 post πραγμ.] *mediocris* add. A (= μέσον)
14 κοπεῖν C 15 κακόν C : *bona* A 19 *Alsarfa* B : *Azarfa* A
27 ἔφοι ἔμενον C : correxi 29 γῇ C

δήσει, ὁ ἐν φυλακῇ κακοπαθήσει· καλὸν δὲ ἵππους σταυλίζειν· συντόμως γὰρ εὔτροφοι γενήσονται· ἀγαθὸν καὶ δούλους ἐξωνεῖσθαι εἰσελθούσης τῆς Σελήνης εἰς τὴν μοῖραν τῆς Παρθένου· γρήγορον γὰρ καὶ ταπεινὸν σημαίνει. Οἱ Πέρσαι λέγουσι· καλὸν καβαλλικεύειν καὶ κυνηγεῖν, ἐναντίον γάμους τιθέναι καὶ φορεῖν νέα ἱμάτια. Ἡ ἱστορία· γυναῖκες πρὸς ἀλλήλας ὁρῶσαι συνδεδεμέναι καὶ ἀνὰ στρώματος καθήμεναι.

Ἡ τρισκαιδεκάτη μονὴ καλεῖται Ἀουᾶ ἤτοι ἡ καποῦλα τοῦ Λέοντος. εἰσὶ δὲ ἐν αὐτῇ ἀστέρες ε΄. ἐστὶ κράσεως τῆς Ἀφροδίτης, ἀπὸ τῆς δ΄ μοίρας τῆς Παρθένου καὶ λεπτῶν ιζ΄ η΄΄ ἄχρι τῆς ιζ΄ τοῦ αὐτοῦ ζῳδίου καὶ λεπτῶν η΄ λϛ΄΄. γηΐνης κράσεως ἤτοι ξηρᾶς, ἀγαθοποιὸς μετὰ κακοποιίας· τὸ γενέθλιον τὸ ἀρρενικὸν ἐν αὐτῇ οὔσης τῆς Σελήνης ἀγενὲς σημαίνει· καὶ τὸ θηλυκὸν ἀγαπώμενον ὑπὸ τῶν ἀνθρώπων, χρήσιμον καὶ καθαρὸν καὶ βίου εὐπόρου καὶ ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς ἀγαπωμένη καὶ κολακευομένη. Οἱ Ἰνδοὶ λέγουσι· καλὸν ἐν αὐτῇ τῆς Σελήνης οὔσης σπείρειν, γάμους ποιεῖν μετὰ χήρας, ταξιδεύειν, φοσσάτον εἰς κοῦρσα ἀποστέλλειν, ἀλλὰ πρὸς τὸ τέλος τῆς μονῆς οὔσης τῆς Σελήνης μὴ ταξιδεύειν. Δωρόθεός φησι· κακὸν δούλῃ συμμίγνυσθαι, ἐξωνεῖσθαι δὲ δούλους ἀγαθόν· καὶ ἀπὸ ταξιδίου διὰ θαλάσσης ὑποστρέφειν ἀγαθόν, ἐπεὶ συντόμως εἰς τὰ ἴδια ἥξει· ὁ ἐν φυλακῇ μετ' ὀλίγον ἀπολυθήσεται· πόμα πίνειν ἀγαθόν, καὶ νέα φορεῖν ἀγαθὸν καὶ κτίζειν καὶ κληρονομεύειν καὶ μετὰ βασιλέως ὁμιλεῖν. Οἱ Πέρσαι λέγουσιν· καλὸν πρέσβεις στέλλειν καὶ γράμματα, ἐναντίον ἰατρείας χρᾶσθαι. Ἡ ἱστορία· γρὺψ ὁρμῶν ἄνω.

Ἡ ιδ΄ μονὴ καλεῖται Σμακειζὲλ ἤτοι στάχυς. ἐστὶ δὲ ἐν αὐτῇ ἀστὴρ ἐν τῷ σκέλει τοῦ Λέοντος· καὶ ἔστι κράσεως τοῦ Κρόνου, ἀπὸ τῆς ιζ΄ μοίρας καὶ λεπτῶν η΄ λϛ΄΄ τῆς Παρθένου ἄχρι τοῦ τέλους τοῦ αὐτοῦ ζῳδίου. ἐστὶ δὲ γηΐνης κράσεως, ξηρᾶς, κακοποιοῦ· τὸ ἀρρενικὸν καὶ θηλυκὸν γενέθλιον δυστυχὲς καὶ κακοθελές, ἐπίψογον καὶ δαιμονιῶδες. Οἱ Ἰνδοὶ λέγουσιν· ὅταν ἡ Σελήνη ἐν αὐτῇ ᾖ, γάμους ποιεῖν καὶ ποτὸν πίνειν ἀγαθόν, σπείρειν δὲ καὶ φυτεύειν δένδρα ἐναντίον· ταξιδεύειν καλόν, παρακαταθήκην ποιεῖν ἢ δάνος διδόναι ἢ χαρίζειν οὐκ ἀγαθόν. Δωρόθεος δέ φησιν ὅτι οὐκ ἀγαθὸν γάμον ποιεῖν· ἡ γὰρ παρθένος ὀλίγον συνδιάξασα ταχέως ὑποχωρήσει, ἡ δὲ χήρα πόρνη ἔσται. δούλους ἐξωνεῖσθαι ἀγαθόν· ταπεινὸν γὰρ καὶ φιλοδέσποτον δηλοῖ καὶ πιστόν· ταξιδεύειν διὰ θαλάσσης καὶ κοινωνίαν ποιεῖν ἀγαθόν· ὁ φυλακισθεὶς ταχέως ἐλευθερωθήσεται. Οἱ Πέρσαι λέγουσι· ἀγαθὸν καταρχὴν διδασκαλίας ποιεῖσθαι καὶ ψήφους, ἐναντίον τάφρους καὶ φρέατα ὀρύσσειν. Ἡ ἱστορία· γυναῖκα μέχρι τοῦ ὀμφαλοῦ γυμνή, εἶτα δύο ἰχθύων κορμία ἔχουσα, ὧν αἱ οὐραὶ ἄνω νεύουσαι κατέχονται διὰ τῶν ἡπλωμένων χειρῶν αὐτῆς.

3 s. *sed postquam Luna exiverit de Leone, quoniam Leo magnus comestor est. Et quando multum comedit, patitur in stomacho et in ventre et est potens et audax, nec vult alicui oboedire* add. A 8 *τρεῖς* C *Al'awwa* B : *Aloce* A *καποῦλα* C non est sanum : umerus enim Leonis caudam sequi non potest ; scripserim *κάτουλα* (canis huic mansioni attribuitur a Ioh. Hispalensi ; cf. *Catal.* XII, p.225, 33 *Latrans* ; « *barking* » interpretatur B) 13 *ἀγενὲς* K : -ῆ C 17 *φοσ. εἰς κ. ἀπ.*] « *exercitum praedatum mittere* » (cf. Du Cange) 27 *Alsimâk Al'a'zal* (« *bare, Calf of Leo* ») B : *Azimech* A 29 *ιζ΄* K (A) : *ιη΄* C

Ἡ ιε΄ μονὴ καλεῖται Γάφρ ἤτοι ... ἐν αὐτῇ ἀστέρες δύο μικροὶ εἰς τοὺς πόδας τῆς Παρθένου· κράσεως τοῦ Ἑρμοῦ, ἀπὸ τῆς πρώτης μοίρας τοῦ Ζυγοῦ ἄχρι τῆς ιβ΄ καὶ λεπτῶν ια΄ κϛ΄΄ τοῦ αὐτοῦ ζῳδίου, ὅ ἐστι πνευματῶδες, ἀγαθοποιόν· τὸ ἀρρενικὸν καὶ θηλυκὸν γενέθλιον εὐτυχὲς καὶ εὐλογημένον ὑπὸ τῶν γονέων καὶ πλούσιον καὶ χρήσιμον ἤτοι καθαρὸν καὶ ἐπαινετόν. Οἱ Ἰνδοὶ λέγουσι· ὅταν ᾖ ἡ Σελήνη εἰς τὴν μονὴν ταύτην, κρύπτειν θησαυροὺς ἀγαθόν, κάμνειν τε ἔργα χρυσᾶ καὶ ἀργυρᾶ, ὀρύσσειν τε τάφρους καὶ φρέατα· ἀποδημεῖν δὲ οὐκ ἀγαθόν· ἰατρεύεσθαι δὲ πληγὰς καὶ τραύματα καὶ λοιπά, ἄνευ μέντοι τῶν πνευματικῶν νοσημάτων. Ὁ Δωρόθεός φησι· κακὸν συναλλάγματα γαμικὰ ποιεῖν, ὅτι χωρισμὸν σημαίνουσι· ὁμοίως καὶ δανείζειν καὶ δανείζεσθαι, ἀλλὰ καὶ τὸ διὰ ξηρᾶς καὶ θαλάσσης ταξιδεύειν καὶ κοινωνίαν ποιεῖν· εἰς μετοικισμὸν δὲ ἀγαθόν, ὥσπερ καὶ εἰς τὸ ἐξωνεῖσθαι ἢ πωλεῖν ἀκίνητα καὶ ψυχάρια καὶ ψυχικὸν ποιεῖν· ἐναντίον δὲ εἰς ἀγορὰν τετραπόδων, κοπὴν ὀνύχων καὶ τριχῶν. Ὁμοίως καὶ οἱ Πέρσαι εἰς ἀγορὰν δούλων καλόν φασι καὶ εἰς ὀρυγὴν φρέατος καὶ τάφρου, ἐναντίον δὲ διαλέγεσθαι καὶ δικάζεσθαι. Ἡ ἱστορία· γυναῖκες δύο πρὸς ἀλλήλας ὁμιλοῦσαι, φοροῦσαι στέμματα μέχρις ὀμφαλοῦ βένετα, μετὰ ταῦτα ὡς ὑπόστρωμα αὐτὰς ἡνωμένας δεχόμενον ἀληθινόν.

12 *τράφους* C : *βόθρους* K 14 *κατέχοντον* (sic) C : corr. Delatte 16 *τάφρ* C : correxi : *Alghafr* B : *Algarf* A lacuna c. decem litterarum C 20 *εὐτυχὴ* C 23 *ὀρύγειν* C 35 *βένετον* C 36 *αὐταῖς* C : corr. Delatte

Ἡ ις′ μονὴ καλεῖται Ζεπάνεια ἤτοι οἱ ὦμοι τοῦ Ζυγοῦ· ἐν αὐτῇ εἰσι ἀστέρες δύο, κράσεως τοῦ Ἑρμοῦ ἀπὸ τῆς ιβ′ μοίρας τοῦ Ζυγοῦ καὶ λεπτῶν ια′ κς″ μέχρι τῆς κε′ μοίρας καὶ λεπτῶν μβ′ ιδ″ τοῦ αὐτοῦ. ἐστὶ γὰρ πνευματώδης καὶ ἀγαθοποιοῦ μετὰ [καὶ] ὀλιγοστῆς φύσεως κακοποιοῦ ἡνωμένης· τὸ ἀρρενικὸν γενέθλιον ἐνάρετον, ἀσκητικόν, εὐτυχὲς καὶ εὐλογημένον, τὸ θηλυκὸν κακοπόδινον εἰς τοὺς γονεῖς καὶ πορνικὸν καὶ κακοθελές. Οἱ Ἰνδοί φασι· ὅταν ἡ Σελήνη ἐν τῇ αὐτῇ ᾖ μονῇ, οὐ δεῖ ταξιδεύειν, οὔτε πόμα πίνειν, οὔτε γάμον ποιεῖν, οὐ σπείρειν, οὐ φυτεύειν, οὐ στολίζεσθαι γυναῖκας· συγκόπτειν δὲ ἱμάτια καὶ φορεῖν αὐτὰ ἀγαθόν. Ὁ Δωρόθεός φησιν· ἐναντίον γάμους ποιεῖν· τεθνήξεται γὰρ ἡ γυνή. ἐξωνεῖσθαι δὲ δοῦλον ἀγαθόν· σημαίνει γὰρ ταπεινὸν καὶ φιλοδέσποτον· ταξιδεύειν ἐναντίον διά τε ξηρᾶς καὶ θαλάσσης καὶ κοινωνίαν ποιεῖν· ταραχώδη γὰρ εἶναι λέγει· ὁ κατασχεθεὶς ταχέως ἀπολυθήσεται. Οἱ Πέρσαι φασί· καλὸν στολίζεσθαι καὶ ἱμάτια ἐξωνεῖσθαι, ἐναντίον δὲ ἀπαιτεῖν καὶ ταξιδεύειν. Ἡ ἱστορία· κεφαλὴ μὲν μαιμοῦς, ὦτα γρυπός, κορμίον δὲ φασιανοῦ καὶ οὐρὰ ἄνω βλέπουσα.

Ἡ ιζ′ μονὴ καλεῖται Ἀκλὶλ ἤτοι στέφανος. ἐν αὐτῇ ἀστέρες τρεῖς, κράσεως Ἄρεως, ἀπὸ τῆς κε′ μοίρας καὶ λεπτῶν μβ′ ιδ″ τοῦ Ζυγοῦ ἄχρι μοίρας ὀκτὼ τοῦ Σκορπίου καὶ λεπτῶν λη′ <β″>. πνευματώδης καὶ ὑγρά, κακοποιός· τὸ ἀρρενικὸν καὶ θηλυκὸν γενέθλιον κακὸν καὶ ῥιψοκίνδυνον καὶ μεμισημένον. Οἱ Ἰνδοὶ λέγουσι· καλὸν πρόβατα κουρεύειν καὶ ἄλογα χλοάζειν καὶ στολίζεσθαι διὰ καινουργίων· καὶ μᾶλλον κάστρον παρακαθῆσθαι. Δωρόθεος λέγει ὅτι, ἐάν τις παρθένον λάβῃ, μοιχευθήσεται, χήραν δὲ ἀγαθόν· ἱππάζειν ἀγαθόν, διὰ πλοίου ἀποδημῆσαι ἐπίφοβον· ταῖς κοινωνίαις φιλονικίαν σημαίνει, εἰς καταρχὴν φιλίας ἀγαθόν, ὅτι ἀχωρίστους εἶναι τοὺς φίλους σημαίνει· καλὸν δὲ ἰατρείαις χρῆσθαι καὶ πόσεσι, ἐναντίον τρίχας κόπτειν καὶ δούλους ἐξωνεῖσθαι. Οἱ Πέρσαι λέγουσι· ἀγαθὸν ἐξωνεῖσθαι τετράποδα καὶ <εἰς> κτημάτων γεωργικῶν κτῆσιν, ἐναντίον δὲ κτίζειν. Ἡ ἱστορία· κεφαλὴ ἱέρακος περίκυκλον ἔχουσα στέφανον διὰ χρυσοπετάλου, μετὰ σπονδύλου ἀνθρώπου ἐσταυρωμένου· ἡ δὲ σὰρξ μέχρι τοῦ στήθους γυμνή, καὶ μετὰ τοῦτο ὡσεὶ τροχὸς

1 *Alzubdnâ* B : *Azebone* A   4 καὶ] seclusi   6 κακοπόδ.] « *infelix* »   17 μαιμ.] « *simia* » (Du Cange)   19 *Al'iklil* B : *Alidil* A   25 μᾶλλον] an καλὸν?   παρακαθεῖσθαι C
32 εἰς κτημάτων Brooks : κτήματα C

ἀληθινὸς ἔχων ἀστέρα διὰ χρυσοπετάλου· καὶ ἔνθεν τοῦ τροχοῦ κἀκεῖθεν ὡσεὶ πτερὰ βένετα.

Ἡ ιη′ μονὴ καλεῖται Κὰλπ ἤτοι καρδία <τοῦ Σκορπίου>· ἐν αὐτῇ ἀστέρες λαμπροί, μέσον δύο μικροί· κράσεως Ἡλίου, ἀπὸ τῆς η′ μοίρας τοῦ Σκορπίου καὶ λεπτῶν λη′ καὶ δευτέρων λεπτῶν β″ ἄχρι τῆς κα′ μοίρας καὶ λεπτῶν κε′ ιδ″ τοῦ αὐτοῦ ζῳδίου. ἐστὶ καὶ αὕτη ἡ μονὴ ὑγρά, ἀγαθοποιός· τὸ ἀρρενικὸν καὶ θηλυκὸν γενέθλιον εὐτυχὲς καὶ εὐλογημένον καὶ εὐειδὲς καὶ φιλούμενον, καλοσύμβουλον καὶ καλοθελές, βίου δὲ οὐ περιφανοῦς. Οἱ Ἰνδοὶ λέγουσι· κτίζειν καὶ σπείρειν ἀγαθὸν καὶ ἀποστολὴν κατ' ἐχθρῶν ποιεῖσθαι, ταξιδεύειν ἐπὶ ἀνατολήν· ἡ βροχὴ παγκόσμιος εἶναι σημαίνεται. Ὁ Δωρόθεός φησι· ἐάν τις γυναῖκα λάβῃ τῆς Σελήνης οὔσης ἐν τῇ αὐτῇ μονῇ μετὰ τοῦ Ἄρεως, προδιεφθαρμένη ἔσται· ἀγορὰν δὲ δούλων ποιεῖσθαι οὐκ ἀγαθόν, καλὸν δὲ κτίζειν διὰ τὸ στερεὸν τοῦ ζῳδίου, ἀλλὰ καὶ διὰ θαλάσσης ταξιδεύειν, μὴ κοινωνεῖν δέ· ἀσυμβίβαστος γὰρ ἡ κοινωνία, ὥσπερ καὶ τὸ δανείζειν καὶ δανείζεσθαι· καὶ τρίχας κόπτειν ἢ στολίζεσθαι οὐ συμφέρει, ἀλλὰ καὶ ἰατρεύεσθαι καὶ πόμα πίνειν. Τούτοις καὶ Πέρσαι συμφθέγγονται· ταξιδεύειν καὶ πραγματεύεσθαι οὐ συμφέρει, λέγουσιν. Ἡ ἱστορία· γυνὴ γυμνὴ τὴν κεφαλὴν πρὸς τὰ δεξιὰ κατωφερῆ νεύουσαν καὶ τὰς χεῖρας περὶ τὴν καρδίαν ἔχουσα ὡς οἷον σπαράττουσα ἑαυτήν· καὶ μετὰ τὴν καρδίαν τροχὸς βένετος μετὰ ἀστέρων ἔνθεν κἀκεῖθεν ἐσκορπισμένων· οἷον ἔχει τὴν ποδέαν αὐτῆς κόκκινον.

Ἡ ιθ′ μονὴ καλεῖται Σοῦλα ἤτοι οὐρὰ τοῦ Σκορπίου. ἐν αὐτῇ ἀστέρες εἰσὶ δύο μικροί, κράσεως τοῦ Διός, ἀπὸ τῆς κα′ μοίρας τοῦ Σκορπίου καὶ λεπτῶν κε′ ιδ″ ἄχρι δ′ μοίρας τοῦ Τοξότου καὶ λεπτῶν ιζ′ ι″. ὑγρά, πυρώδης, ἀγαθοποιὸς μετὰ καὶ μετρίας κακώσεως· τὸ ἀρρενικὸν καὶ θηλυκὸν γενέθλιον ἐναντίον εἰς τοὺς γονεῖς καὶ συγγενεῖς καὶ μεμισημένον καὶ ψεγόμενον καὶ κακοθελές. Οἱ Ἰνδοὶ λέγουσι· ἐν ταύτῃ τῇ μονῇ οὔσης τῆς Σελήνης καλὸν ἐπιτίθεσθαι ἐχθροῖς καὶ πόλεις ἐνεδρεύειν καὶ δάνος μὴ ζητεῖν ποιῆσαι· σπείρειν δὲ καὶ δένδρα φυτεύειν ἀγαθόν. Δωρόθεός φησι· ἐάν τις διὰ θαλάσσης ἀποδημήσῃ, φόβον

3 *Alkalb* B : *Alcalb* A   supplevi   14 ἔσται K : ἐστίν C
15 τοῦ στερεὸν C   25 *Alshaula* B : *Yenla* A   28 πυρώδης C
34 post φησι] *Si quis uxorem ceperit, non inveniet eam virginem; mala est pro emendo servos* add. A

ἔχει τὸ πλοῖον ναυαγῆσαι· ὁ φυλακισθεὶς κακοπαθήσει. Οἱ Πέρσαι φασί· κτίζειν ἀγαθόν, οὐκ ἀγαθὸν ταξιδεύειν καὶ κοινωνίαν ποιεῖν. Ἡ ἱστορία· γυναῖκα ὑπόπτερος ἐπὶ πρόσωπον, στεφανοφόρος, ἀληθινοφόρος.

Ἡ κ' μονὴ καλεῖται Ναὲμ ἤτοι οἱ δύο στρουθοκάμηλοι. ἐν ταύτῃ ἀστέρες εἰσὶν η' · οἱ μὲν δ' μέσον τῶν δύο ζῴων, οἱ δὲ δ' ἐκτός · κράσεως τοῦ Ἑρμοῦ, ἀπὸ τῆς δ' μοίρας τοῦ Τοξότου καὶ λεπτῶν ιζ' ι'' ἄχρι ιζ' μοίρας καὶ λεπτῶν η' λς'' τοῦ αὐτοῦ ζῳδίου. φύσεως πυρώδους καὶ ἀγαθοποιοῦ · τὸ ἀρρενικὸν καὶ θηλυκὸν γενέθλιον εὐτυχὲς καὶ ἐπιτυγχάνον ἐπιχειρήμασι εἴτε κατ' ἐχθρῶν εἴτε ἐν κοινωνίᾳ καὶ λοιπὸν νικῶν ἀεὶ τοὺς μεθ' οὓς ἔχει · ἀγαπώμενον καὶ καλοθελές, βίου δὲ οὐ περιφανοῦς. Οἱ Ἰνδοί φασι · καλὸν ἐν ταύτῃ οὔσης τῆς Σελήνης ἄλογα χλοάζειν, ταξιδεύειν μέσον · ἐὰν δὲ βρέξῃ, παγκοσμίως μὲν πλὴν ἐπ' ὀλίγον. Δωρόθεος λέγει · καλὸν ἄλογα χλοάζειν, κακὸν δὲ κοινωνεῖν · ὁ κατασχεθεὶς κακοπαθήσει μεγάλως. Οἱ Πέρσαι φασί · ἀγαθὸν ἀπαιτεῖν χρήματα καὶ ὅπλα ἐξωνεῖσθαι, ἐναντίον δὲ στολίζεσθαι καὶ γάμους ποιεῖν. Ἡ ἱστορία · δύο στρουθοκάμηλοι.

Ἡ κα' μονὴ καλεῖται Μπαλτὰ ἤτοι κάστρον. ἐν αὐτῇ ἀστέρες ιβ' μικροὶ ὡσεὶ κύκλος · κράσεως Κρόνου, ἀπὸ τῆς ιζ' μοίρας καὶ λεπτῶν η' λς'' τοῦ Τοξότου μέχρι τοῦ τέλους τοῦ αὐτοῦ ζῳδίου. φύσεως πυρώδους, κακοποιοῦ · τὸ ἀρρενικὸν καὶ θηλυκὸν γενέθλιον ἀτυχὲς καὶ μέλλον ἀπορφανισθῆναι ἀφ' ἑνὸς τῶν γονέων καὶ πολύγαμον, ἀντιληπτικὸν τῶν ἀδικουμένων πλὴν κακοθελές. Οἱ Ἰνδοί φασι · ἐν ταύτῃ τῇ μονῇ τῆς Σελήνης οὔσης κτίζειν, σπείρειν, ἐξωνεῖσθαι κτήματα καὶ τετράποδα καὶ στολίζεσθαι καὶ συγκόπτειν ἱμάτια καὶ φορεῖν καινούργια ἀγαθόν, ταξιδεύειν δὲ μέσον. Δωρόθεός φησι · γάμον ποιεῖν οὐ συμφέρει, δούλους ἐξωνεῖσθαι μέσον · ὑπερόπτας γὰρ τούτους εἶναι σημαίνει. Οἱ Πέρσαι φασί · καλὸν βασιλέας προσκυνεῖν, καὶ ταξιδεύειν ἐναντίον, ὥσπερ καὶ δούλους ἐξωνεῖσθαι καὶ τετράποδα ἄνευ ἵππων. Ἡ ἱστορία · κάστρον ἔχον ἑκατέρωθεν δένδρα.

Ἡ κβ' μονὴ καλεῖται Σὰτ τὰφ πὸχ ἤτοι Εὐτυχία τοῦ σφά-

1 post *ναυαγῆσαι*] *et qui societatem inierint, discordabunt inter se* add. A *κακοπαθήσῃ* C 4 *ἀληθινοφόρος* i.e. *purpuratus* 5 *Alna'â'im* B : *Alimain* A 10 *εὐτυχῆ* C *ἐπιτύχανον* C 11 *λοιπῶν* C 13 *χλοίζειν* C 14 s. verbum desideratur : *et si pluerit, bonum erit nec faciet malum* A 15 *χλοίζειν* C 20 *Albalda* B : *Albeda* A 31 *κακαλὸν βασιλεῖς προσκινεῖν* C 34 *Sa'd-Adhâbih* B : *Sahaddadebe* A

ζοντος, οἱ δὲ Ἀρραβῖται καλοῦσιν αὐτὴν πρόβατα. εἰσὶ δὲ ἐν αὐτῇ ἀστέρες δύο μικροί · κράσεως τοῦ Κρόνου, ἀπὸ τῆς α' μοίρας τοῦ Αἰγοκέρωτος ἄχρι τῆς ιβ' μοίρας καὶ λεπτῶν να' κς'' τοῦ αὐτοῦ ζῳδίου · φύσεως γηίνης. .τὸ ἀρρενικὸν γενέθλιον ἐν αὐτῇ εὐλογημένον καὶ εὐτυχὲς καὶ ἀγαπώμενον παρὰ τῶν ἀνθρώπων, καλοθελὲς καὶ ἀγαθὰ τὰ ἔργα αὐτοῦ · τὸ θηλυκὸν ἀκόλαστον καὶ ἀναίσχυντον, ὡς καὶ μισθὸν διδόναι χάριν μίξεως. Οἱ Ἰνδοὶ λέγουσι · ὅταν ἡ Σελήνη ἐν τῇ τοιαύτῃ μονῇ τυγχάνῃ, καλὸν ποτὸν πίνειν καὶ παντοίας ἰατρείας ἰατρεύεσθαι · ἐναντίον δέ φασι εἶναι ταξιδεύειν, εἰ μὴ περὶ τὸ τέλος τῆς τοιαύτης μονῆς, ὥσπερ καὶ τὸ στολίζεσθαι ἐναντίον. Δωρόθεός φησι · ἐὰν γαμήσῃ <τις> τῆς Σελήνης οὔσης ἐν αὐτῇ τῇ μονῇ, ἅμα ἑνωθήσονται, αὐτίκα καὶ χωρισθήσονται, τελευτήσει δὲ ὁ ἀνὴρ μετὰ ἕνα χρόνον καὶ ἡ γυνὴ πορνεύσει · εἰς ἀγορὰν δούλων ἐναντίον · ἀγαθὸν διὰ πλοὸς ἀποδημεῖν, ἔχει δὲ κακοπάθειαν τὸ ταξίδιον, τῇ τοῦ κέρδους ἐλπίδι ὑπομονὴν φέρουσαν · καὶ κοινωνεῖν ἀγαθόν · ἐπικερδὴς γὰρ ἡ κοινωνία ἔσται · ὁ κατασχεθεὶς συντόμως ἐλευθερωθήσεται. Οἱ Πέρσαι λέγουσι · καλὸν ἀπαιτεῖν χρήματα καὶ δουλείαν ζητεῖν, ἐναντίον δὲ ἐφιππάζεσθαι. Ἡ ἱστορία · γυνὴ τὴν ἀριστερὰν χεῖρα ἔχουσα ἡπλωμένην, τῇ δεξιᾷ δὲ φέρουσα σπάθην, δι' ἧς ἔσφαξεν ἑαυτήν, γυμνὴ μέχρι τοῦ ὀμφαλοῦ · τὰ δὲ μετὰ ταῦτα γραμμίδι ὁμοίως τοῖς ἄλλοις.

Ἡ κγ' μονὴ καλεῖται Σὰτ πούλγ ἤτοι Εὐτυχία τοῦ λαιμοῦ τουτέστι τῆς καταπόσεως, ἐν ᾗ εἰσι ἀστέρες δύο μικροὶ εἰς τὴν ἀριστερὰν παλαμὴν τοῦ Ὑδροχόου. ἐστὶ δὲ κράσεως τοῦ Ἑρμοῦ, ἀπὸ τῆς ιβ' μοίρας καὶ λεπτῶν να' κς'' Αἰγοκέρωτος ἄχρι τῆς κε' μοίρας τοῦ αὐτοῦ καὶ λεπτῶν μβ'. ἐστὶν δὲ φύσεως γηίνης, κράσεως μικτῆς, ἀγαθοποιοῦ δηλαδὴ μετὰ συμμέτρου κακώσεως. τὸ ἀρρενικὸν γενέθλιον κακότροπον καὶ ἀναίσχυντον, διὸ δεῖ φεύγειν τὰς μετ' αὐτοῦ ὁμιλίας, ὡς δυστυχεῖς καὶ κακάς · τὸ δὲ θηλυκὸν πόρνην ἀναίσχυντον καὶ κακοθελὲς καὶ σφόδρα ἀκόλαστον. Οἱ Ἰνδοὶ λέγουσιν · ἐν ταύτῃ οὔσης τῆς Σελήνης καλὸν ἰατρεύεσθαι καὶ στολίζεσθαι καὶ νέα ἱμάτια φορεῖν, κατὰ δάνος δὲ ἢ χάριν ζητεῖν οὐκ ἀγαθόν · καὶ ταξιδεύειν ἐν μόνῳ τῷ

7 *χάρι* C 9 *παντίας* C 11 Suppl. Boer 13 *τελευτήσῃ* C 14 *προνεύσει* C 16 *φέρουσα* C 21 *ὀφαλοῦ* C 22 *γραμμίδι* fortasse i.e. q. *γράμμα* « *limbus vestis* » 23 *Sa'd-Bula* B : *Zadebolal* A 31 *θυλικὸν* C *πόρνον* K

α' τρίτῳ τῆς τοιαύτης μονῆς οὔσης τῆς Σελήνης · ἐν γὰρ τῷ λοιπῷ μέρει οὐκ ἀγαθόν. <Δωρόθεός φησι·> ἐὰν γαμήσῃ τις, συντόμως χωρισθήσεται, οἷα πόρνης οὔσης τῆς γυναικός · εἰς ἀγορὰν δούλων ἐναντίον, κοινωνεῖν δὲ ἀγαθόν · ὁ κατασχεθεὶς ταχέως ἐλευθερωθήσεται. Οἱ Πέρσαι καλὸν φυτεύειν καὶ κτίζειν φασί, ἐναντίον δὲ ταξιδεύειν καὶ ἰατρεύεσθαι. Ἡ ἱστορία · γυνὴ ἔχουσα πρόσωπον καὶ σῶμα ἐνδεδυμένον μέχρις ὀμφαλοῦ, τὴν δεξιὰν χεῖρα ἔχουσα μέχρι γῆς νεύουσαν, τὴν δὲ ἀριστερὰν κατὰ λαιμοῦ βάλλει, τὰ δὲ μετὰ τὸν ὀμφαλὸν ὄρνιθος οἷον ἀκολάστου · ἔοικε δὲ χῆνα μετὰ πόδια β' τοῦ αὐτοῦ ζῳδίου.

Ἡ κδ' μονὴ καλεῖται Σὰτ σιοὺτ ἤτοι ἡ Εὐτυχία τῶν εὐτυχιῶν. εἰσὶ δὲ ἐν αὐτῇ ἀστέρες τρεῖς ἐν τῇ οὐρᾷ τοῦ Αἰγοκέρωτος · κράσεως τοῦ Ἄρεως, ἀπὸ τῆς κε' μοίρας τοῦ Αἰγοκέρωτος καὶ λεπτῶν μβ' μέχρις η' μοίρας τοῦ Ὑδροχόου καὶ λεπτῶν λδ' ιη''. φύσεως γηίνης καὶ πνευματώδους, ἀγαθοποιός · τὸ ἀρρενικὸν καὶ θηλυκὸν γενέθλιον εὐτυχὲς καὶ εὐλογημένον, σπαστρικὸν καὶ ἀγαπώμενον παρὰ τῶν ἀνθρώπων, καλοθελὲς καὶ καλοεργόν. Οἱ Ἰνδοί φασι · ὅταν ἡ Σελήνη ἐν τῇ μονῇ ταύτῃ <ᾖ>, ἀγαθὸν κουρεύειν πρόβατα, ἰατρεύεσθαι πληγὰς καὶ κουρσεύειν νύκτα, ἐναντίον δὲ στολὴν ποιεῖν καὶ ἱμάτια συγκόπτειν καὶ φορεῖν · ταξιδεύειν δὲ μέσον φασί. Δωρόθεός φησι · ἐπ' ὀλίγον ὁ γάμος διαμενεῖ καὶ χωρισθήσονται · ἀγαθὸν ἐξωνεῖσθαι δούλους, ἀποδημῆσαι δὲ διὰ <θαλά>σσης καὶ κοινωνίαν ποιῆσαι ἐναντίον · ὁ κατασχεθεὶς ἐλευθερωθήσεται. Οἱ Πέρσαι καλόν φασι σπέρειν καὶ κτίζειν, ἐναντίον πλέειν. Ἡ ἱστορία · δέσποινα καθημένη ἐπὶ θρόνου κοκκίνου, προσκεφαλάδιον βένετον μετὰ ἱματίου ἀσπροχρύσου.

Ἡ κε' μονὴ καλεῖται Σὰτ ἂλ ἀκπίε ἤτοι Εὐτυχία τῶν τεντῶν. εἰσὶ ἐν αὐτῇ ἀστέρες δύο καὶ μέσον αὐτῶν ἕτερον μικρόν. ἐστὶ δὲ κράσεως τῆς Ἀφροδίτης, ἀπὸ τῆς η' μοίρας τοῦ Ὑδροχόου καὶ λεπτῶν λδ' καὶ ιη'' ἄχρι τῆς κα' καὶ λεπτῶν κε' μδ'' τοῦ αὐτοῦ ζῳδίου. φύσεως πνευματώδους, ἀγαθοποιοῦ · τὸ ἀρρενικὸν καὶ θηλυκὸν γενέθλιον κακὸν καὶ ἀνευλόγητον, ὡς σημαῖνον ἀπώλειαν

1 *τρίτῳ* lectio incerta : *in mediate* (sic) *tertia illius diei* A
2 suppl. A 10 *ἀκόλαστον* C 11 *Sa'd-Alsu'ûd* B : *Zaadescod* A
13 *Ἄρι* C 16 *σπαστρ.* « *mundum* » (Du Cange) 17 *περὶ* C
19 *κουρεύειν* C : corr. Delatte 21 s. *διαμείνει* C 23 *'σσης* C : *pro introitu navis* A 26 *προσκεφαλάδων* C 28 *Sa'd-Al'akhbiya* B : *Sadalahbia* A

τῶν γονέων, ἀλλὰ καὶ αὐτὸ παρὰ ξένων τραφήσεται, κακὸν καὶ πτωχόν. Οἱ Ἰνδοὶ λέγουσι · καλὸν ἀποστολὴν ἀποκρισιαρίων ποιεῖν καὶ γάμον, ἱμάτια ἐξωνεῖσθαι καὶ πρὸς δύσιν ταξιδεύειν · ἐναντίον δὲ σπείρειν καὶ πρόβατα κουρεύειν. Ὁ Λωρόθεός φησι · καλὸν δούλους ἐξωνεῖσθαι · ἐνδυνάμους γὰρ καὶ φιλοδεσπότους καὶ πιστοὺς σημαίνει · γαμεῖν δὲ μέσον, κτίζειν στερεόν, καὶ διὰ θαλάσσης ἀποδημεῖν καλόν · ἀργὰ μέντοι ὑποστρέψει · καὶ κοινωνεῖν ἀγαθόν · ὁ δὲ κατασχεθεὶς οὐκ ἐλευθερωθήσεται. Οἱ Πέρσαι καλόν φασιν μαθήσεως κατάρχεσθαι καὶ ταξιδεύειν, ἐναντίον διαλέγεσθαι καὶ δικάζεσθαι. Ἡ ἱστορία · τέντα πράσινος, ἧς ἐντὸς γυνὴ κοκκινοφόρος καθημένη μετὰ στέμματος.

Ἡ κϛ' μονὴ καλεῖται Φὰργ ἄλμουκ τὰμ ἤτοι ἡ κορυφὴ τῆς Ἀργώ. ἐν ταύτῃ τῇ μονῇ εἰσι ἀστέρες δύο μικροί, καλεῖται ἡ γωνία τοῦ Ὑδροχόου. κράσεως τοῦ Ἡλίου, ἀπὸ τῆς κα' τοῦ Ὑδροχόου μοίρας καὶ λεπτῶν κε' καὶ μδ'' ἄχρι τῆς δ' μοίρας τῶν Ἰχθύων καὶ λεπτῶν ιζ' μα''. φύσεως πνευματώδους, ἀγαθοποιοῦ · τὸ ἀρρενικὸν γενέθλιον εὐτυχὲς καὶ ἐπαινετόν, καλοθελές, καλοσύμβουλον καὶ καλοεργόν, <τὸ δὲ θηλυκὸν> μέσον βίου, οὔτε εὐτυχοῦς, οὔτε δυστυχοῦς. Οἱ Ἰνδοὶ καλόν φασι ψυχικὰ ποιεῖν, ποτὸν πίνειν καὶ ταξιδεύειν, μὴ μέντοι εἰς τὸ α' τρίτον τῆς μονῆς. Δωρόθεός φησι · ἐπ' ὀλίγον διαμεῖναι τὸν γάμον ἀχώριστον · εἰς ἀγορὰν δούλων ἀγαθόν · πιστὸν γὰρ σημαίνει καὶ φιλοδέσποτον · ὁ κατασχεθεὶς οὐκ ἐλευθερωθήσεται. Οἱ Πέρσαι καλὸν εἰς ἀπαίτησιν χρημάτων καὶ καταρχὴν τεχνῶν, ἐναντίον διαλέγεσθαι καὶ δικάζεσθαι. Ἡ ἱστορία · ἄνθρωπος πρασινοφόρος ἀποπατῶν μετὰ τοῦ δεξιοῦ ποδὸς εἰς ῥίζαν φυτοῦ καὶ μετὰ τῆς δεξιᾶς χειρὸς κατέχει τὴν κορυφὴν τοῦ φυτοῦ, τὴν δὲ ἑτέραν χεῖρα καὶ τὸν πόδα ἔχει ἐπὶ τὰ ὄπισθεν ἄνω νεύοντα.

Ἡ κζ' μονὴ καλεῖται Φὰργ ἂλ μοῦχαρ ἤτοι γωνία ἐαρινὴ τοῦ Ὑδροχόου. ἐν αὐτῇ εἰσι ἀστέρες β' · κράσεως τοῦ Διός, ἀπὸ τῆς δ' μοίρας τῶν Ἰχθύων καὶ λεπτῶν ιζ' μα'' μέχρι τῆς ιζ' μοίρας καὶ λεπτῶν μδ' μα'' τοῦ αὐτοῦ ζῳδίου. ἐστὶ δὲ φύσεως ὑγρᾶς,

2 *bona est ad mittendum nuncios sed non est bona pro coniugio* A
4 *κουρ.* : *emendo* A 13 *Alfargh Al'awwal* B : *Fargalmocaden* A
19 suppl. Boer 21 *τρίτον* lectio incerta : *in prima tertia illius diei* A 24 *φιλοδ.*] *et si aliquod aedificium fiet, erit firmum et durabile, bonum est intrare navem et intranti significat tarditatem. Mala est pro societate* add. A 29 *ἔχειν* C 30 *Alfargh Althâni* B : *Alfargamahar* A

ἀγαθοποιοῦ καὶ κακοποιοῦ, τουτέστι μικτῆς· τὸ ἀρρενικὸν γενέθλιον κακὸν καὶ ῥιψοκίνδυνον καὶ ταραχοποιὸν καὶ κατὰ τὸν βίον ἄτακτον καὶ ἀνώμαλον καὶ ῥυπαρὸν καὶ κακοθελές, τὸ δὲ θηλυκὸν εὐτυχὲς καὶ εὐλογημένον καὶ ἀγαπώμενον παρὰ τῶν ἀνθρώπων. Οἱ Ἰνδοί φασι· καλὸν ἐν ταύτῃ τῇ μονῇ οὔσης τῆς Σελήνης προβάτων ἐπιμελεῖσθαι, ποτὸν πίνειν· κατὰ χάριν δὲ ζητεῖν τι ἢ κατὰ δάνος οὐκ ἀγαθόν· καλὸν γαμεῖν, μέσον δὲ ταξιδεύειν. Ὁ Δωρόθεός φησι· ὁ πλεύσας ζημιωθήσεται, ὁ κοινωνήσας καταρχὴν ἔχει καλήν, τέλος δὲ οὐκ ἀγαθόν· ὁ κατασχεθεὶς οὐκ ἐλευθεροῦται, δούλους ἐξωνεῖσθαι οὐκ ἀγαθόν. Οἱ Πέρσαι φασί· καλὸν τάφρους ποιεῖν καὶ ὀρυγὴν πηγαδίων, ἐναντίον ταξιδεύειν καὶ μετοικίζεσθαι. Ἡ ἱστορία· ἄνθρωπος κοκκινοφόρος πωγωνίας τὰ ὅμοια πράττων τῷ ἄνωθεν πλὴν ἀριστερῶς.

Ἡ κη′ μονὴ καλεῖται Πάτν ἀλχοὺτ ἤτοι ἡ κοιλία τῶν Ἰχθύων. κράσεως τῆς Σελήνης, ἀπὸ τῆς ιζ′ μοίρας τῶν Ἰχθύων καὶ λεπτῶν μδ′ μα′′ τοῦ αὐτοῦ ζῳδίου ἄχρι τοῦ τέλους αὐτοῦ. φύσεως ὑγρᾶς, ἀγαθοποιοῦ· τὸ ἀρρενικὸν καὶ θηλυκὸν γενέθλιον εὐτυχὲς καὶ εὐλογημένον, ἀγαπώμενον παρὰ τῶν ἀνθρώπων, ἐπαινετόν, καλοθελὲς καὶ καλοεργόν. Οἱ Ἰνδοί φασιν· ἐν ταύτῃ οὔσης τῆς Σελήνης καλὸν ἐπιμελεῖσθαι προβάτων, σπείρειν, ποτὸν πίνειν, κακὸν παρακαταθήκην ποιεῖσθαι καὶ κατὰ προδοσίαν τιμὴν τοῦ ἐξωνουμένου διδόναι ἢ ἀρραβῶνα, καλὸν γαμεῖν, ταξιδεύειν δὲ μέσον. Δωρόθεός φησιν· ὁ ἐξωνούμενος δοῦλος στωμύλος ἔσται καὶ ἀναίσχυντος· ὁ διὰ θαλάσσης ταξιδεύσας ζημιωθήσεται· ἡ κοινωνία καλὴν μὲν τὴν καταρχὴν σημαίνει, οὐκ ἀγαθὸν δὲ τὸ τέλος αὐτῆς· ὁ κατασχεθεὶς οὐκ ἀπολυθήσεται. Οἱ Πέρσαι φασίν· καλὸν ἐν ταύτῃ τῆς Σελήνης οὔσης πλεῖν, παρακαταθήκην τιθέναι οὐκ ἀγαθόν. Ἡ ἱστορία· γυνὴ μετὰ μανικοδέτου καὶ γραμμάτων σαρκηροῦ ἱματίου μέχρι τοῦ ὀμφαλοῦ, ἄνωθεν καθημένη δύο ἰχθύων, ὧν αἱ οὐραὶ ἄνωθεν νεύουσι κατεχόμεναι παρὰ τῶν δύο χειρῶν αὐτῆς.

---

11 φη(σὶ) C 15 *Batn-Alhût* B : *Bathnealoth* A 21 πρόβατα C 24 δοῦλον C στομύλος C 29 μανικ. = manica? 30 σαρκ.] ignotum ; cf. saricam mediae latinitatis quae est tunicae species 31 νεύουσαι C : corr. Delatte

Excerpta e Palchi libro apotelesmatico.

Capitula quae sequuntur in solo codice Angelicano 29 (= Rom. 2) inter collectanea Palchi repperiuntur, in Cromwelliano et Vaticano sine auctoris nomine traduntur. Nonnulla tamen post Palchum, qui exeunte quinto p.Chr.n. saeculo vixit (cf. Cumont, *Rev. instr. publ. en Belgique*, XL, 1897, p. 2 ss.), interpolata esse notum est, cf. Cumont, *Catal.*, VI, p. 63 n. ; additamentum huiusmodi invenies infra p. 160, 5 ubi Turcia laudatur (cf. *Catal.*, V, 1, p. 181 n.) ; v. etiam infra p. 162.

In codice Cromwelliano caput primum incipit recte in p. 416, sed verbum Ἀναβιβάζοντα (l. 7) nullo spatio interiecto caput mutilum Hephaestionis, III, 5 (ed. Olivieri, *Studi ital.* VI, 1898, p. 13, 15 - 19, 3) sequitur et, quae hic desiderantur, antea, p. 393 (... καὶ μετὰ τὸ στῆσαι ...), sine titulo praebentur. Quod librarium caput e codice quodam descripsisse demonstrat, ubi pars prior in fine quaternionis erat, posterior tamen ordine quaternionum disturbato suo loco avulsa erat.

Codd. Cromwellianum et Vaticanum e fonte communi, qui Angelicano deterior erat, pendere et e variis lectionibus et e lacunis (cf. p. 158, 4 s. ; 159, 9 ; 160, 3 ; 160, 20 s.) satis elucet.

P. 416. <Πάλχου·> περὶ τροπῶν τῶν δ′ καιρῶν.

Εἰ βούλει γνῶναι τὰ μέλλοντα γίνεσθαι ἐπὶ ἡγεμόνων τε καὶ ἰδιωτῶν κατὰ τὸ ζητούμενον κλίμα, ψήφισον τὸν Ἥλιον, ὅτε εἰσέρχεται ἐν τῷ Κριῷ ἐν πρώτῳ λεπτῷ ἐν ποίᾳ ἡμέρᾳ καὶ ὥρᾳ, καὶ μετὰ τὸ στῆσαι αὐτὸν ἀκριβῶς ψήφισον τοὺς λοιποὺς ἀστέρας κατὰ τὴν αὐτὴν ὥραν καὶ τὴν Σελήνην καὶ τὸν Ἀναβιβάζοντα. καὶ μετὰ τὸ στῆσαι τὰς ἐποχὰς τῶν ἀστέρων ἀκριβῶς ψήφισον

C(romwellianus) ; **A**(ngelic. 29 = Romanus 2), f. 95 cap. γ′ ; **V**(aticanus 8 (= 318), f. 111.

1 π. τ. τ. δ′ κ. A : εὕρομεν καὶ ἐν ἄλλῳ βιβλίῳ οὕτως add. post titulum C : καὶ ἐν ἄλλῳ β. εὑρ. οὕτ. ante titulum V τοῦ τρόπου CV 4 ὅταν εἰσέρχηται CV 5 πρώτῳ scripsi (cf. *Catal.*, VIII, 1, p. 261, 5) : ἑνὶ ACV post ὥρᾳ] εἰσέρχεται add. CV 6 λοιποὺς om. A 7 post ὥραν] ἀκριβῶς add. CV post Ἀναβ.] ἢ περὶ πραγμάτων κτλ. C (quod est Heph., III, 5, v. introd.), sed habet hinc nostrum caput in p. 393 8 τῶν ἀστέρων CV : αὐτῶν A ἀκριβῶς om. A

τὸν ὡροσκόπον κατὰ τὴν αὐτὴν ὥραν, ἐν ᾗ ὁ Ἥλιος τὴν ἰσημερίαν πεποίηται ἐν τῷ τοῦ Κριοῦ ζῳδίῳ, καὶ τὰ λοιπὰ κέντρα καὶ τὰς τούτων ἐπαναφορὰς καὶ τὰ τούτων ἀποκλίματα. καὶ μετὰ τὸ στῆσαι τοὺς ιβ' τόπους ἀκριβῶς ζήτει τὸν ἀφέτην ἐν τῷ ἀφετικῷ τόπῳ ἑστῶτα, καθὰ καὶ ἐν τῷ περὶ χρόνων διαιρέσεως εἴρηται, καὶ μετὰ τὸ εὑρεῖν τὸν ἀφέτην σκέπτου τὸν οἰκοδεσπότην αὐτοῦ· οὗτος γὰρ δηλοῖ τὰ μέλλοντα γίνεσθαι. εἶτα ἴδε τὸν ὡροσκόπον καὶ τὸν οἰκοδεσπότην αὐτοῦ, ἐν ποίῳ τόπῳ πέπτωκεν, ὁμοίως δὲ καὶ τὸν Ἥλιον ἐν ποίῳ τόπῳ ἐστὶ καὶ σκέπτου ἀμφοτέρους. ἐὰν μὲν οὖν εὕρῃς τὸν Ἥλιον ἐν τόπῳ κακῷ, τὸν δὲ κύριον τοῦ ὡροσκόπου ἐν καλῷ, τὸ μὲν ἔτος ἐκεῖνο καλὸν λέγε εἶναι τοῖς ὄχλοις, τῷ δὲ ἡγεμόνι κακόν. εἰ δὲ ὁ Ἥλιος καλῶς ἕστηκεν, ὁ δὲ κύριος τοῦ ὡροσκόπου κακῶς, τὸ ἐναντίον λέγε, ἤγουν τῷ μὲν ἡγεμόνι καλόν, τοῖς δὲ ὄχλοις κακόν. εἶτα ἴδε τὸν κύριον τοῦ ἀφέτου τὸν εὑρισκόμενον πῶς ἔχει τὴν μαρτυρίαν πρὸς τὸν Ἥλιον καὶ τὸν ὡροσκόπον καὶ τὸν κύριον τοῦ ὡροσκόπου· καί, ἐὰν μὲν ἴδῃ τὸν Ἥλιον ἐν καλῷ τόπῳ ἑστῶτα, τὸν δὲ ὡροσκόπον καὶ τὸν κύριον αὐτοῦ ἐπιβλέψῃ ἐν κακῷ τόπῳ πεσόντα, κρεῖττον μὲν εἶναι τὸ ἔτος τοῖς ἄρχουσι, τοῖς δὲ ὄχλοις ἔλαττον. εἶτα ἴδε τὸν κύριον τοῦ ἀφέτου, ἐν ποίῳ τόπῳ πέπτωκε καὶ τίς αὐτὸν ὑπεδέξατο καὶ τίς ἐπ' αὐτὸν τὴν ἀκτῖνα ἐπέβαλε· ἐὰν ἀγαθοποιός, ἀγαθά, ἐὰν δὲ κακοποιός, φαῦλα εἶναι λέγε. ἐὰν μὲν οὖν ἐστιν ὁ κύριος τοῦ ἀφέτου ἀνατολικὸς ἢ ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ ἢ ἐν ζῳδίῳ φωνήεντι, τὰ σημαινόμενα παρ' αὐτοῦ φανερὰ ἔσται· εἰ δὲ δυτικὸς ἢ ὕπαυγος ἢ ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ, κρυπτῶς ἀποτελεῖ. Κρόνος μετὰ Καταβιβάζοντος ἐν τῷ ὡροσκόπῳ εὑρισκόμενος τοῖς μὲν λαοῖς ἀγαθῶν δηλωτικός, τοῖς δὲ ἄρχουσι φαύλων. ἐὰν εὑρεθῇ κακοποιὸς ἐν τῷ β' τόπῳ ἀπὸ ὡροσκόπου, περὶ βίον εἶναι τὴν κάκωσιν λέγε· ἐὰν δὲ ἐν τῷ γ' τόπῳ

1 post ὡροσκ.] ἀκριβῶς add. CV 4 ἐν τῷ - 6 ἀφέτην om. CV 5 hoc caput desideratur apud Palchum, sed exstat apud Valentem IV, 4; Ptolemaeum IV, 10; Hephaestionem II, 25 (*Catal.* VIII, 2, p. 90); Rhetorium (*Catal.*, VIII, 1, p. 242) 6 ante σκέπτου] καὶ add. C σκόπει A 10 εὑρεθῇ A 11 ἐν τόπῳ κ. CV 13 εἱστήκει A 14 ἤγουν V : ἤτοι A : ἤως C λαοῖς A 16 ὡρ. καὶ τὸν Ἥλ. A 17 ἑστῶτα C : ἑστώς AV τὸν δὲ κύρ. τοῦ ὡρ. καὶ τὸν ὡρ. A 18 πεσόντα C : πεσὼν AV 19 κρεῖττον CV : καλὸν A 21 ἢ καὶ CV ἔβαλε CV post ἐὰν] τε add. A 22 δὲ CV : τε A λέγε εἶναι CV 23 s. post ἡμισφ.] ὢν add. A 21 φανερῶς CV 29 ἐὰν A : εἰ CV ἐν γ' περὶ A

περὶ ἀδελφούς, καὶ ἑξῆς ὁμοίως κατὰ τὴν δωδεκάτροπον ἐπιλογίζου. ἐὰν μὲν οὖν ὁ Ζεὺς ἢ ἡ Ἀφροδίτη μετὰ τοῦ Ἀναβιβάζοντος ἐν οἱῳδήποτε τόπῳ πέσωσι, καλῶν αἴτιοι τοῖς ἄρχουσι καθέστηκασι. καὶ μετὰ ταῦτα ἴδε τὴν φύσιν τοῦ ζῳδίου, ἐν ᾧ ὁ ἀστὴρ ὁ δηλῶν τὰ σημαινόμενα πέπτωκε, καὶ οὕτως ἀποφαίνου γίνεσθαι εἴτε κακὸν εἴτε ἀγαθόν. ἐὰν οὖν ἐστιν ἀφέτης ὁ Ἄρης μετὰ Καταβιβάζοντος, πολέμων καὶ αἱματοχυσίας καὶ ἐμφυλίου πολέμου δηλωτικός ἐστιν ἐν τῇ χώρᾳ, ἐν ᾗ κεκλήρωται τὸ ζῴδιον, ὃ ἐπέχει ὁ Ἄρης· εἰ δὲ εὑρίσκεται ὁ Ἄρης ἐν τροπικῷ ζῳδίῳ, μετακινεῖσθαι τὸν ἄρχοντα ἀπὸ τόπου εἰς τόπον δηλοῖ. εἰ δὲ εὑρεθῇ ἄλλος ἀστὴρ τετραγωνίζων ἢ διαμετρῶν τὸν Ἥλιον καὶ μάλιστα ἐὰν παραιρετικὸς ᾖ <καὶ> κακοποιός, πόλεμον καὶ ἐπιβουλὰς σημαίνει. ἐὰν δὲ θέλῃς ἰδεῖν, τίς νικήσει, βλέπε τὸν Ἥλιον ποῦ ἕστηκε καὶ τὸν προειρημένον ἀστέρα, ἤγουν τὸν τετραγωνίζοντα ἢ τὸν διαμετροῦντα τὸν Ἥλιον, καὶ τοὺς οἰκοδεσπότας ἀμφοτέρων καὶ τὰς θέσεις τοῦ Ἡλίου καὶ τοῦ ἀστέρος. καὶ ἐὰν μὲν εὕρῃς τὸν ἀστέρα ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι, τὸν δὲ Ἥλιον ἐν τῷ ζ' ἢ ἐν τῷ ὑπὸ γῆν καὶ οἱ μὲν ἀγαθοποιοὶ ἐπαναφέρωνται τῷ Ἡλίῳ, οἱ δὲ κακοποιοὶ τῷ ἀστέρι, σημαίνει τὸν κύριον ὅτι δειλὸς καὶ ἀσθενής ἐστι διὰ τὸ κακῶς πεπτωκέναι αὐτόν· ὁ δὲ λαὸς αὐτοῦ δυνατὸς καὶ ἰσχυρὸς διὰ τὸ τοὺς ἀγαθοποιοὺς ἐπαναφέρεσθαι τῷ Ἡλίῳ. καὶ ὁ ἀνώτερος ἀστὴρ ἰσχυρὸς μέν ἐστι, διότι εὑρέθη ἐν τοῖς κέντροις, ἤγουν ἢ τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι, ὁ δὲ λαὸς αὐτοῦ δειλὸς καὶ ἀσθενὴς διὰ τὸ ἐπαναφέρεσθαι αὐτῷ τοὺς κακοποιούς. εἰ δέ εἰσιν ἐν καλοῖς τόποις καὶ ὑπ' ἀγαθοποιῶν μαρτυρούμενοι, ἀγαθὰ δηλοῦσιν· εἰ δὲ ἐν κακοῖς καὶ ὑπὸ κακοποιῶν, φαῦλα. βλέπε δὲ καὶ τοὺς οἰκοδεσπότας ἀμφοτέρων καί, οἷον ἂν εὕρῃς ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενον, ἐκεῖνον λέγε νική-

1 ιβ' τόπον CV 2 ὁ om. CV ἡ om. A 3 τρόπῳ CV πεσόντες CV 6 καλὸν - φαῦλον CV 7 αἱμοχυσίας CV 9 εἰ δὲ - Ἄρης om. CV post μετακ.] φησὶ add. V 10 s. ἀστ. ἄλλ. CV 11 s. ἐὰν ἐστι παραιρ. ἐὰν ACV : correxi 12 παραιρέτης CV πολέμους CV 13 εἰ CV ποῦ A : ἐν ποίῳ ζῳδίῳ CV 14 ἤγουν CV : ἤτοι A τὸν[2] om. C τὸν[3] om. CV 17 ἀστέρα CV : Ἄρεα A ἐπὶ τὸν ὡροσκόπον ἢ τὸ μεσουράνημα CV 18 s. οἱ μὲν ... οἱ δὲ A : εἰ μὲν ... εἰ δὲ CV ἐπαναφέρονται ACV 19 ἀστέρι AC : τὸν ἀστέρα V κύριον Boer : κλῆρον ACV 21 ἀγαθοὺς A 22 ἀνώτερος A : Ἀντάρης CV 23 τῷ κέντρῳ ἤτοι (ἢ om.) A εἰς τὸν ὡροσκόπον ἢ τὸ μεσουράνημα CV 25 καλ. τόπ. A : καλῇ θέσει CV 26 κακῇ CV

σειν τὸν ἕτερον. εἰ δὲ ὁ Ἄρης τετραγωνίσει τῷ Ἡλίῳ ἢ διαμετρήσει αὐτῷ, κακὸν τοῖς ἄρχουσιν· εἰ δὲ κατὰ τὰ αὐτὰ σχήματα ἐπιβλέψει τὸν ὡροσκόπον ἢ τὸν κύριον αὐτοῦ, λέγε τὴν βλάβην εἶναι ἐπὶ τοῦ ὄχλου κατὰ τὸ κεκληρωμένον ζῴδιον τῷ κλίματι, οἷον, ἐὰν ἐν Κριῷ, Περσίδι, ἐὰν δὲ ἐν τῷ Λέοντι, ἐν τῇ Τουρκίᾳ, ἐν δὲ τῷ Σκορπίῳ, ἐν τῇ Συρίᾳ, ἐν δὲ τῷ Καρκίνῳ, ἐν τῇ Ῥωμανίᾳ, ἐν δὲ Ὑδροχόῳ, ἐν τῇ Ἰνδίᾳ. εἰ δὲ ἀφετικὸς ἀστήρ ἐστιν ὁ Ἑρμῆς καὶ κακούμενος, λέγε τὴν βλάβην εἶναι ἐν τοῖς Ἑρμαικοῖς, ἤγουν ἐμπόροις ἢ γραμματικοῖς καὶ ὅσα τούτοις παραπλήσια. ἡ δὲ Ἀφροδίτη ὁμοίως κακουμένη ἐν τῷ βίῳ τῶν ἀνθρώπων ποιεῖ τὴν κάκωσιν· καὶ μάλιστα, ἐὰν ἐν θηλυκῷ ζῳδίῳ ᾖ, ἐν ταῖς γυναιξὶν τὴν βλάβην ἔσεσθαι δηλοῖ· εἰ δέ ἐστιν ἐν ἡγεμονικῷ ζῳδίῳ, ἀρχονтικαῖς γυναιξί. βλέπε δὲ τὸν η′ τόπον ἀπὸ Ἡλίου καί, ἐὰν εὑρεθῇ ὁ Ἄρης ἐκεῖ, πολέμου καὶ σφαγῆς καὶ ἀνασοβῶν δηλωτικός ἐστιν ἐν ἐκείνῳ τῷ τόπῳ, ἔνθα ἕστηκεν ὁ Ἄρης. ὁμοίως δὲ βλέπε τὸν η′ τόπον ἀπὸ Σελήνης καὶ οὕτως ἀποφαίνου, καθὰ προείρηται ἐπὶ Ἡλίου. εἰ δὲ θέλεις μαθεῖν σφαγὴν γίνεσθαι ἢ θάνατον, βλέπε τὸν Ἄρεα καὶ τίς ἐστι σὺν αὐτῷ τῶν ἀστέρων καὶ πόθεν ἐπιβλέπει αὐτόν· ἐὰν μὲν γὰρ ὁ Ζεὺς ἐπὶ ἀνθρωποειδεῖ ζῳδίῳ ὢν ἐπιβλέπῃ τὸν Ἄρεα, λέγε σφαγήν· εἰ δὲ ἀπὸ κτηνώδους ἢ θηριώδους ζῳδίου ἐπιβλέπει, λέγε εἶναι θάνατον καὶ οὐ σφαγήν. εἰ δὲ ὁ Κρόνος ἐκ τετραγώνου ἢ διαμέτρου ἐπιβλέπει τὸν Ἄρεα, λέγε θάνατον εἶναι καὶ οὐ σφαγήν· εἰ δὲ ὁ Κρόνος τριγωνίζει αὐτόν, πόλεμον καὶ σφαγὴν ἔσεσθαι δηλοῖ. εἰ δὲ τὸν θάνατον σημαίνει ὁ Ἄρης καὶ ἔστιν ἐν ἀρρενικῷ ζῳδίῳ, τοῖς ἀνδράσι τὸν θάνατον δηλοῖ· εἰ δὲ ἐν θηλυκῷ, ταῖς γυναιξί. τινὲς δὲ περὶ τούτου σκέπτονται τὴν Σελήνην καὶ τὸν κακοποιὸν τὸν ὄντα σὺν αὐτῇ ἢ ἐν

---

1 ὁ om. CV 2 s. ἐπιβλέπει CV 3 ἢ - αὐτοῦ om. CV τὸ βλάβος CV 5 ἐν[1] om. CV Περσίαν CV ἐὰν δὲ ἐν τῷ A : ἐν δὲ CV ἐν τ. Τ. A : Τουρκίαν CV 6 τῷ[1] om. CV τῷ[2] om. CV 7 δὲ[1] om. A ὁ om. CV 8 καὶ om. A τὴν bis C ἤγουν CV : ἤτοι A 9 ἐμπορίοις A ἢ om. CV ἡ scripsi : εἰ ACV 11 ἐὰν om. A ἐν[1] om. V ᾖ om. A ταῖς om. CV 12 ἐν om. CV ἡγεμονικοῖς ζῳδίοις CV 14 πολέμων κ. σφαγῶν κ. ἀνασοβῆς CV 15 ἐν om. CV ἔνθα A : ὅπου CA 17 ἢ A : ἤτοι CV 18 τὸν om. A σ. αὐ. τῶν ἀστ. A : σ. αὐ. ἀστὴρ V : σὺν τῷ ἀστέρι C ἢ καὶ CV 20 εἰ δὲ - 21 σφαγήν om. CV 23 ὁ Κρ. om. CV 24 τὸν om. C σημαίνει bis V 26 γυν. A : θηλείας CV

τῷ η′ τόπῳ ἀπ' αὐτῆς. καί, ἐὰν εὑρεθῇ Ἄρης, σφαγὴν δηλοῖ· εἰ δὲ Κρόνος, θάνατον· ἐὰν δὲ ὁ Ζεὺς μετὰ τοῦ Καταβιβάζοντος τύχῃ ἐν κακῷ τόπῳ μαρτυρούμενος ὑπὸ Ἄρεως, σφαγὴν δηλοῖ· εἰ δὲ Κρόνος αὐτὴν ἐπιβλέπει, θάνατον. σκόπει δὲ καὶ τὰς φύσεις τῶν ζῳδίων καὶ τῶν ἀστέρων καὶ οὕτως ἀποφαίνου κατὰ τὰ προειρημένα. εἰ δὲ θέλεις γνῶναι, πότε γίνεται τὸ ἀποτελούμενον, ἴδε τὴν Σελήνην καὶ τὸν κακοποιόν, ἐὰν ὦσιν ἐν τροπικῷ εἴτε κατὰ τετράγωνον ἢ διάμετρον ἢ σύνοδον· καὶ ὅσας ἂν μοίρας ἀπέχῃ ἀπ' αὐτῆς, ἐν τοσαύταις ἡμέραις· εἰ δὲ ἐν δισώμῳ, ἐν μησίν· εἰ δὲ ἐν στερεοῖς, ἔτεσιν.

Ἄλλως.

Ἴδε τὸν ὡροσκόπον καὶ τὸν κύριον αὐτοῦ, πόσας μοίρας ἀπέχει καί, ὅσας ἂν ἀπέχῃ, δὸς ἀναφορικῶς εἴτε ἡμέρας, εἴτε μῆνας, εἴτε ἔτη, καθὰ προείρηται· ἡμέρας μὲν ἀπὸ τῆς ὡροσκοπούσης μοίρας ἕως τῆς μοίρας τοῦ οἰκοδεσπότου αὐτῆς· νυκτὸς δὲ τὸ ἀνάπαλιν, ἤγουν ἀπὸ τοῦ οἰκοδεσπότου ἕως τῆς ὡροσκοπούσης μοίρας. τινὲς δὲ ἀριθμοῦσιν ἀπὸ τοῦ ὡροσκόπου ἕως τοῦ κυρίου αὐτοῦ ζῳδιακῶς, καί, ὅσα ἂν ζῴδια εὑρεθῶσι, τοσαύτας ἡμέρας ἢ μῆνας ἢ ἔτη λέγουσιν εἶναι. εἰ δὲ εὑρεθῇ ἐν τῷ μεταξὺ τοῦ ὡροσκόπου καὶ τοῦ οἰκοδεσπότου αὐτοῦ ζῴδιον δίσωμον, διπλὴν τὴν ἡμέραν ἢ τὸν μῆνα ἢ τὸ ἔτος λέγουσιν.

De interrogationibus

Erat doctrina propria interrogationis, cuius vestigia exstant pauca (cf. Bouché-Leclercq, *Astrol. gr.*, p. 469 ss.) et solus Dorotheus inter veteres auctores περὶ ἐρωτήσεων tres libros composuisse traditur (cf. *Catal.*, I, p. 82; Stegemann, *Die Fragmente des Dor.* p. 55). Atque quae innotuerunt excerpta partim ad Dorotheum expressis verbis referentia omnia quodam modo ex illo pendere videntur:

---

1 post αὐτῆς] τῆς Σελήνης add. CV καὶ ἐὰν A : ἐὰν μὲν CV Ἄρ. om. CV δηλοῦσιν CV 2 ἐὰν scripsi : εἰ ACV 4 αὐτὸς CV 7 εἰσὶν CV τροπικοῖς CV ἦτε C 8 σύνοδον A : σὺν αὐτῇ CV καὶ A : ἤτοι CV 9 ἀπέχει C ἀπ' A : ἐξ CV ἐν τ. ἡ. A : τοσαύτας ἡμέρας CV δισώμοις CV μῆνας CV 10 ἔτη CV 11 καὶ ἄλλως CV 14 εἴτε A : ἢ CV καθὼς CV ἡμ. A : ἐὰν μὲν ἡμέρα ἐστὶν CV 15 τῆς om. CV μοίρας[2] AV : μοιρῶν C τῆς δὲ νυκτὸς CV 16 ἤγουν scripsi : ἤτοι A : om CV 17 ὡροσκόπου CV : οἰκοδεσπότου A 19 τῷ μεταξὺ CV : ταῖς μετὰ A 20 κ. τ. οἰκ. om. CV

Cod. IX, 1. — 11.

ipsius Dorothei (*Catal.*, XI, 1, p. 169), Hephaestionis (III, 4 : *Catal.* VIII, 2, p. 111 ss.), Palchi (*Catal.*, XI, 1, p. 202 s.), Iudaei Sahl ben Bišr (saec. IX : *Catal.*, V, 3, p. 103 ss. ; cf. Stegemann, *Dorotheos v. Sidon u. das sog. Introductorium des Sahl ibn Bišr*, 1942, p. 31), Apomasaris (*Catal.*, XI, 1, p. 168), Abraham ben Esra (*De interrogationibus*, latine versus a Petro de Abano, 1507 ; cf. Stegemann, *Fragm. d. Dor.* p. 61). Quae nunc accedunt excerpta non soli Palcho tribuenda sunt, ut docent loci ad Indos (p. 164, 20 ; 165, 13 ss.), caliphas (p. 165, 11 ; 14), Masallam (p. 166, 16) referentes, sed, ut alia quoque capitula (cf. supra p. 157), aevo Byzantino interpolationibus aucta sunt.

P. 427. <*Πάλχου*>· *περὶ τοῦ γνῶναι τὸν σκοπὸν τοῦ ἐρωτῶντος περὶ τίνος θέλει ἐρωτᾶν.*

Ἴδε τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὴν Σελήνην καὶ τὸν κύριον τοῦ κλήρου τῆς Τύχης· ὁ γὰρ δυνατώτερος αὐτῶν δηλοῖ τὴν ἐρώτησιν καὶ τὸν σκοπόν. εἶτα ἴδε τὸν οἰκοδεσπότην τοῦ ἐπικρατήτορος, ποίας ἐστὶ φύσεως καὶ ἐν ποίῳ οἴκῳ ἐστί· καὶ κατὰ τὴν ἐκείνου φύσιν καὶ τοῦ οἴκου ἀπόκρινε. εἰ δὲ βούλει γνῶναι τὴν αἰτίαν τῆς ἐρωτήσεως, ἴδε τὸν ἀστέρα τὸν δηλοῦντα τὸν σκοπόν, ἀπὸ τίνων ἀστέρων ἀπέρρευσε, καὶ κατὰ τὴν φύσιν ἐκείνων ἀπόκρινε. εἰ δὲ καὶ τὸ ἀποτέλεσμα γνῶναι βουληθῇς, βλέπε τὸν ἀστέρα τὸν δηλοῦντα τὸν σκοπόν, τίνι μέλλει τῶν ἀστέρων συνάψαι, καὶ κατὰ τὴν φύσιν ἐκείνου ἀποκρίνου.

Ὑποδείγματος χάριν· οἷον ἤρετο ὡροσκοποῦντος τοῦ Ταύρου μοίρᾳ ε', καὶ ἦν ἡ Ἀφροδίτη ἐν Καρκίνῳ ἐν ἰδίῳ τριγώνῳ, ἡ δὲ Σελήνη, ὁ οἰκοδεσπότης τῆς Ἀφροδίτης, ἐν τῷ Ζυγῷ, ἀλλοτρίῳ τόπῳ· ὁ δὲ κύριος τοῦ κλήρου τῆς Τύχης ἦν ὁ Κρόνος, καὶ αὐτὸς ἐν ἀλλοτρίῳ τόπῳ, τῷ Λέοντι, ἐπικρατήτωρ οὖν ἦν ἡ Ἀφροδίτη

C(romwellianus) ; **A**(ngelic. 29 = Romanus 2), f. 128 cap. *ριγ'* ; **P**(**arisinus 4 = 2419), f. 118** ; Vaticanum 10 (= 1057), f. 141ᵛ ex A descriptum omisi.

3 *τί* P *θέλῃ* C 7 *ἐστὶ*[1] om. P *καὶ τὴν τοῦ* P 8 *ἀποκρίνου* C *ἰδέναι καὶ τὴν αἰτ.* P 10 *τίνος ἀστέρος* P *ἐκείνου* C *ἀποκρίνου* C 11 *βούλει γν.* P 12 post *σκοπὸν*] *καὶ* add. C 13 *ἀποκρ.* AP : *ἀποτέλεσε* C 14 *Ὑπ.* - p. 164, 5 *ἀνάπαλιν* om. A 14 *καὶ ὑπ.* P *οἷ. ἤρ.* C : *ἠρώτησέ τις* P *ὡρ. τ. Τ.* P : *τὸ ὡροσκόπου Τ.*C 15 *ε'* C : *ι'* P *ἐν Κ.* om. P *ἡ δὲ* P : *ἢ ἡ* 16 *ὁ οἰκ.* C : *ἠκοδέσπηνα* P quomodo planeta alter in altero domicilium habeat, nescio *ἐν τῷ Ζ.* om. P 17 *ὁ δὲ* - 18 *Λέοντι* om. P 18 *ἐπ. οὖν ἦν* C : *ἐπικρατεστέρα οὖσα* P

ἐν ἰδίῳ τριγώνῳ οὖσα καὶ κυρία τῆς Σελήνης. εἶδον οὖν τὸν οἰκοδεσπότην αὐτῆς τὴν Σελήνην ἐν τῷ Ζυγῷ τῷ ς' τόπῳ ἀπὸ τοῦ ὡροσκόπου καὶ δηλωτὴν ἀπὸ τοῦ ἐπικρατήτορος. ἐπεὶ οὖν ἐν τῷ ς' τόπῳ ἦν καὶ τῷ δ' τόπῳ ἀπὸ τοῦ ἐπικρατήτορος, ἤτοι τῶν περὶ γονέων, καὶ ἡ Σελήνη δηλοῖ τὴν μητέρα, εἶπον ὅτι ἐρωτᾷ περὶ τῆς μητρός αὐτοῦ. ἔμελλον οὖν ἰδεῖν, τίς ἡ αἰτία τῆς ἐρωτήσεως καὶ τῆς ἀρρωστίας αὐτῆς· καὶ εἶδον τὴν Σελήνην ἀπορρέουσαν τοῦ Κρόνου καὶ εἶπον, ὅτι ἐρωτᾷ περὶ νόσου ψυχρᾶς καὶ ξηρᾶς. ἤθελον οὖν γνῶναι, ἐν ᾧ μέρει τοῦ σώματος αὐτῆς ἡ νόσος ἐστί· καὶ εἶδον τὸν Κρόνον ἐν τῇ α' μοίρᾳ τοῦ ζῳδίου καὶ εἶπον ὅτι ἐν τοῖς ἄνω μέρεσι τοῦ σώματος αὐτῆς ἐστιν ἡ νόσος. καὶ πάλιν ἤθελον γνῶναι, ἐν ᾧ μέρει ἐστί, καὶ εὗρον τὸν Κρόνον ἐν τῷ Λέοντι <καὶ> εἶπον ὅτι ἐν τῷ στομάχῳ αὐτῆς ἐστιν ἡ νόσος, ἐπεὶ δὲ ὁ Λέων κυριεύει τοῦ στομάχου. ἤθελον γνῶναι, εἰς τί καταντήσει ἡ νόσος, καὶ ἰδὼν τὴν Σελήνην φερομένην πρὸς συναφὴν τῆς Ἀφροδίτης εἶπον ὡς ὑγιανεῖ. ἤθελον οὖν γνῶναι μέχρι πόσων ἡμερῶν, καὶ εἶδον τὰς μεταξὺ Σελήνης καὶ Ἀφροδίτης καὶ ἦσαν μοῖραι ε' ἐν τροπικῷ ζῳδίῳ καὶ εἶπον μέχρι ε' ἡμερῶν. καὶ τῇ αὐτῇ μεθόδῳ ἀκολουθῶν ἀπταίστως εὗρον τὸν σκοπὸν καὶ τὴν ἐρώτησιν. εἰ οὖν ἦν ἡ Ἀφροδίτη ἐν τῷ τόπῳ τῆς Σελήνης, εἶπον ὅτι ἐρωτᾷ περὶ γυναικός· εἰ δὲ ἦν ὁ Ἄρης, εἶπον ὅτι ἐρωτᾷ περὶ ἀδελφῶν καὶ περὶ κλέπτου· εἰ δὲ ὁ Ἑρμῆς, εἶπον ὅτι ἐρωτᾷ περὶ ἀνεψίου· εἰ δὲ ἦν ὁ Ζεὺς ἐν τῷ τόπῳ τῆς Σελήνης, εἶπον ὅτι ἐρωτᾷ περὶ παιδός· εἰ δὲ ὁ Κρόνος, εἶπον ὅτι ἐρωτᾷ περὶ δούλου. καὶ εἰ μέν ἐστιν ὁ

---

1 *οὖσα* C : *εὑρισκομένη* P *ἴδε οὖν καὶ τὴν ἠκοδέσπηναν* P 2 *τῷ ς'* — 4 *ἦν* om. P 4 *τῷ δ' τ.* C : *δ'* P 5 *δηλ.* om. P *τὰς μητέρας καὶ* P 6 *ἰδέναι* P *καὶ* om. P 8 *περὶ* C : *διὰ* P *οὖν γν.* C : *δὲ ἰδέναι* P 9 *ᾧ* C : *ποίῳ* P *αὐ.* om. C *ἐ. ἡ ν.* P 10 *ταῖς πρώτες μοίραις* P *τοῖς* C : *τὲς* P 11 *αὐ.* om. C *καὶ — γνῶναι* om. P 12 *ᾧ* C : *ποίῳ* P *εὑρίσκω* P *ἐν τῷ Λ.* C : *ὅτι ἐστὶν εἰς τὸν Λέοντα* P <*καὶ*> — 13 *νόσος* C : post 14 *στομάχου* P *ἐπεὶ δὲ ὁ* C : *ὁ δὲ* P 14 post *γν.*] *καὶ* add. P *κατήντησεν* C 15 *ἴδον* P *τὴν συν.* P *καὶ ἴδον καὶ εἶ. ὅτι* P 16 *ἠθέλησα γν. καὶ* P *εἶδ. οὖν* P 17 *τῇ Ἀ. μοίρας* P *μ.* om. P *ἐν τρ. ζ.* om. P 18 *μ. ε' ἡ.* C : *ὅτι εἰς πέντε ἡμέρας ὑγειανὴ* P 19 *εὑρίσεις* P *κ. τ. ἐρ.* om. P *εἰ οὖν* P : *καὶ ἦν* C 20 *τοῖς τόποις τοῖς Σ.* P post *Σ.*] *καὶ* add. C 21 *εἶπ. ἂν* P *ἀδελφοῦ* P *κ. π.* C : *ἢ* P 22 *εἶπ. ἂν* P post *ἀνεψ.*] *καὶ γίν.* - *ἀνάπαλιν* C : recte post 164,3 *γήρας* P 23 *ἦν* C : *καὶ* P *τῷ* C : *τῷ αὐτῷ τῷ* P *τ. Σ.* om. P

ἐπικρατήτωρ ἑῷος, ἐστὶ νέος ἐκεῖνος, περὶ οὗ ἡ ἐρώτησις· εἰ δὲ ἑσπέριος, γέρων· εἰ μέγας ἐπικρατήτωρ ἐστὶ ἡ Σελήνη μηνοειδὴς οὖσα καὶ αὐξιφωτοῦσα, δηλοῖ νεότητα, λήγουσα δὲ γῆρας. καὶ γίνωσκε, ὅτι ὁ Ἥλιος ἡμέρας ἀρρενοῦται καὶ νυκτὸς θηλύνεται, καὶ ἡ Σελήνη τὸ ἀνάπαλιν.

P. 428. <*Πάλχου*·> *ἄλλως περὶ τοῦ αὐτοῦ.*

Δεῖ τὸν ἐρωτῶντα ἡμέραν ὁλόκληρον μελετῆσαι τὸν σκοπὸν ἢ καὶ πλεῖον ταύτης· οὐ γὰρ πᾶς ἐπίσταται ἐρωτᾶν. δεῖ οὖν εἰδέναι ὡς ὁ ὡροσκόπος ἐστὶν ὁ πρῶτος δηλῶν περὶ τοῦ σκοποῦ καὶ ὁ κύριος αὐτοῦ· ἔνθα γὰρ ὑπάρχει, ἐκεῖνος ὁ τόπος δηλώσει. βλέπε δὲ καὶ ποῖος ἀστὴρ ἐπιβλέπει τὴν μοῖραν τοῦ ὡροσκόπου· καί, ἔνθα ἐστὶν ὁ τόπος ἐκεῖνος, σημαίνει τὸν σκοπόν. μὴ παρίδῃς δὲ μηδὲ τὸν ὡροσκοποῦντα ἀστέρα· ἐστὶ γὰρ ὁ σκοπὸς κατὰ τὴν φύσιν ἐκείνου τοῦ ἀστέρος καὶ τοῦ τόπου οὗ ἐστὶ κύριος. Ὁ δὲ Δωρόθεος καὶ Πτολεμαῖος καὶ Οὐάλης τὸν κλῆρον τῆς Τύχης λαμβάνουσι· ἔνθα γάρ ἐστι, ἐκεῖνον τὸν τόπον ἀποφαίνονται σημαντικὸν εἶναι τοῦ σκοποῦ· καὶ εἰ μέν ἐστιν ἐν τῷ ὡροσκόπῳ, ἐρωτᾷ περὶ ἑαυτοῦ· εἰ δὲ ἐν τῷ β′, περὶ πλούτου καὶ βίου· εἰ δὲ ἐν τῷ γ′, περὶ ἀδελφῶν καὶ ἑξῆς ὁμοίως. Οἱ δὲ Ἰνδοὶ λέγουσιν· ἴδε τὸν κύριον τῆς ὡροσκοπούσης μοίρας καὶ τὸν ὁριοκράτορα καὶ προσωποκράτορα, ποῖός ἐστι τούτων

1 *ἡ ἐρ.* C : *ἐρωτᾷ* P   2 *μέγας* C : *δὲ* P   post *Σ.*] *αὕτη γὰρ* add. C   3 *δηλοῦσι* P   4 *καὶ γίν.* (cf. ad p. 163, 22) C : *ἰστέον δὲ* P   *ἡμ. μὲν ... νυκτ. δὲ* P   5 *κ. ἡ* C : *ἡ δὲ* P   post *ἀνάπ.*] *νυκτὸς μὲν ἀρρ., ἡμ. μὲν* (!) *θηλ.* add. P

C(romwellianus) ; **A**(ngelic. 29 = Romanus 2), f. 128^{v} cap. *ριδ′* ; **M**(arcianus 334 = Venetus 6), f. 146^{v} ; **N**(eapolitanus II C 33 = Italicus 19), f. 410 ; **O**(xoniensis 26 = Arch. Selden. Supra 17), f. 120 ; Vaticanum 10 (= 1057), f. 141^{v} ex A descriptum omisi

6 *Ἄ. π. τ. αὐ.* A : *περὶ τοῦ γνῶναι τὸν σκοπὸν τοῦ ἐρωτῶντος* (*τὸν τοῦ ἐρ. σκ.* M) *περὶ τίνος μέλλει ἐρωτᾶν* (*π. τ. μ. ἐ.* om. M) CMNO   7 *Δεῖ* - 8 *ἐρωτᾶν* om. CNO   7 *μελελῆται* M   8 *καὶ* om. M   *αὐτῆς* M   post *πᾶς*] *ἄνθρωπος* add. M   9 *ὡς* ACM : *εἰ* NO   *ὁ*^{1} om. C   *δηλοῦ* C   10 *ὁ τόπ. ἐκ.* CNO   11 *βλέπε* A : *ἴδε* CMNO   *τῇ ὡροσκοπούσῃ μοίρᾳ* M   13 *ὡρ. ἀστ.* AM : *ἀστ. τοῦ ὡροσκόπου* CNO   14 *τὴν* om. M   *ὁ κύριος* A   15 Dor. : cf. *Catal.*, XI, 1, p. 169 s. ; 202 s. Val. II, 17   16 *τρόπον* C   18 *ἐρωτῶ* C   cf. *Catal.*, V, 3, p. 103, 33   *ἑαυτοῦ* A : *αὐτοῦ* CMNO   19 *καὶ βίου* A : om. CMNO   *εἰ δὲ - ἀδελφῶν* om. M   *ἑξῆς* M   *οἱ*] *εἰ* C   20 Indi : cf. *Catal.*, V, 3, p. 110 ss.   21 *ὁριοκρατῆρα* M

δυνατώτερος καὶ τίνι συνάπτει καὶ ἐν ποίῳ τόπῳ ἐστί· κἀκεῖνον τὸν τόπον λάμβανε δηλωτικὸν τοῦ σκοποῦ.

Φέρεται δὲ καὶ ἑτέρα μέθοδος τοιαύτη· ἦν καθ' ὑπόθεσιν ὡροσκοποῦσα Κριοῦ μοῖρα ιβ′· δέδωκα ἑκάστῳ ζῳδίῳ μοίρας β′ ∠″ ἀπὸ τῆς ἀρχῆς τοῦ Κριοῦ καὶ κατέληξεν ἡ ψῆφος ἐν τῷ Λέοντι, τῷ ε′ ἀπὸ τοῦ ὡροσκόπου. καὶ ἐν μὲν τῷ Λέοντι οὐχ εὗρόν τινα ἀστέρα ἢ τὸν Ἥλιον, τὸν κύριον αὐτοῦ, ἀλλ' ἦν ὁ Ἥλιος ἐν τῷ ζ′ τόπῳ, καὶ διὰ τοῦτο εἶπον ὡς ἡ ἐρώτησίς ἐστι περὶ παιδὸς μέλλοντος συναφθῆναι γυναικὶ διὰ μὲν τὸν παῖδα <*διὰ τὸ*> *εἶναι τὸν ε′ τόπον δηλοῦντα περὶ παίδων, διὰ δὲ τὴν γυναῖκα διὰ τὸ εἶναι τὸν κύριον τοῦ ε′ τόπου ἐν τῷ ζ′ τόπῳ. εἰ δὲ ἦν ὁ Ἥλιος ἐν τῷ ς′ τόπῳ, εἶπον ἂν ἐρωτῆσαι αὐτὸν περὶ παιδὸς ἀρρωστοῦντος.*

Χρῶ δὲ καὶ τῷ λεγομένῳ παρὰ τοῖς Ἰνδοῖς νουπὰρχ ἤτοι τοῖς ἐννάτοις. ἔστι δὲ τὸ τοιοῦτο οὕτως· λάβε ἀπὸ τοῦ Κριοῦ μέχρι τῆς ὡροσκοπούσης μοίρας ὑπὲρ ἑκάστου ζῳδίου θ′ νουπάρχας καὶ τὰ ἐπισυναγόμενα νουπὰρχ ἀνάλυε ἐπὶ τὰ δώδεκα καὶ τὸ μὴ πληροῦν τὰ δώδεκα ἀπόλυσον ἀπὸ Κριοῦ καί, ἔνθα ἂν καταντήσῃ, ἴδε τὸν τόπον ἐκεῖνον, ποῖός ἐστιν ἀπὸ τοῦ ὡροσκόπου τῆς ἐρωτήσεως, καὶ πρὸς τὴν φύσιν ἐκείνου ἀπόκρινε. οἷον· ὡροσκό-

1 *συνάπτῃ* C   2 *τρόπον* C   desinunt NO (subiciunt cap. *περὶ τοῦ εἰ ἔσται τινὶ ἀγαθὸν ἢ κακόν* quod vide infra p. 169)   3 cf. Heph. III, 4 : *Catal.*, VIII, 2, p. 113, 4 ss. ; Dorotheum apud *Comm. Anonym. in Tetrab.*, p. 48 (ed. 1559)   ante *Φέρ.*] *ἄλλως* add. C   *ἦν καθ' ὑπ.* om. C   *καθ'* om. M   *ὁ* (M) *ὡροσκόπος* CM   4 *Ταύρου* C   *ιβ′ μ. Κρ.* M   *μοίρας* C   *δέδωκεν ἑκάστου ζῳδίου ἀνὰ γ′* C   5 *ἀρξάμενος ἀπὸ τ. ἀρχ.* M   *ἀπὸ - Κρ.* om. C   *καὶ κατήντησεν ἡ ψ. εἰς τὸν Λέοντα τὸ ε′ ἀ. Κριος ζῴδιον καὶ ψηλαφήσας τὸ ζῴδιον οὐχ εὗ.* CM   6 *τινα* A : *ἐν αὐτῷ* CM   7 *ζ′* AC : *ζῳδίῳ* M   *τόπῳ - εἶπον* A : *καὶ* (*διὰ τοῦτο* add. M) *ἀπετέλεσα* CM   8 *ἡ ἐρ. - παιδ.* AM : *ἠρώτησε παιδ. ἕνεκεν* C   9 *διὰ μὲν* - 11 *ζ′ τόπῳ* A : om. CM   *τ. π.* <*δ. τ.*> Delatte : *τοῦ παιδὸς* A   12 *τόπῳ* om. CM   *ἂν* om. C   *ἐρωτᾶν* M : *ἐρωτήσει* C   *αὐτὸν* om. C   *ἀρρώστου παιδὸς* CM   13 ss. simillima latere videntur in Vat. 20, f. 48^{v} *ἄλλως* add. C   *χρῶ* M : *χρῆ* A : *ἐρῶ* C   *τὸ λεγόμενον* C   *περὶ* M   *τοῖς* om. M   14 *τὰ ἔννατα* CM   *ἐστιν* AM : *ζ′* C   *τοῦ* om. C   15 *τοῦ ὡροσκόπου* C   *θ* AM : *τῆς* C   *νουπάρχ* CM   16 post *νουπ.*] *ἤγουν ἔννατα καὶ κατὰ τρεῖς μοίρας καὶ ἥμισυ* (? *τρίτον* ?) *ἓν νουπάρχ* add. C   *τὰ*^{2} scripsi : *τὸν* A : *τῶν* C : om. M   17 *καὶ* om. CM   *ἂν* AM : *δὲ* C   18 *ποῖος* A : *ἔνθα* CM   post *ὡρ.*] *τῆς ὥρας* add. CM   19 *ἀποκρίθητι* C   *οἷον* A : *ὑποδείγματος χάριν· γέγονεν ἐρώτησις* CM   *ὡροσκόπου οὔσει ι′ μοίραις Κρ. κ. ἦν* C : *ὡροσκοπούσης μοίρας ι′ τοῦ Κριοῦ κ. ἦν* M

πος μοῖρα ι′ Κριοῦ, καί εἰσι τρεῖς νουπάρχες · ἀπέλυσα ταῦτα ἀπὸ τοῦ ὡροσκόπου καὶ κατήντησεν ὁ ἀριθμὸς ἐν τῷ γ′ τόπῳ ἐν Διδύμοις, ἐν ᾧ ἀνεπόδιζεν ὁ Κρόνος · καὶ διὰ τοῦτο εἶπον ὅτι ἡ ἐρώτησίς ἐστι περὶ ἀποδήμου, πότε ἥξει. ἦν δὲ ὁ Ἑρμῆς μεσουρανῶν ἐν Ὑδροχόῳ μετὰ τοῦ Ἡλίου καὶ εἶπον ὅτι ὁ ἀπόδημος ἐξουσίαν ἐκτήσατο καὶ ἔχει μετ᾽ αὐτοῦ πολλοὺς καὶ συμπίλησίς ἐστιν ἄλλου ἐπὶ τῇ πύλῃ αὐτοῦ · διότι ὁ Ἥλιος, ὁ κρατῶν τοῦ ὑψώματος τοῦ ὡροσκόπου καὶ τοῦ φωτὸς τοῦ κόσμου, ἐμεσουράνει ἐν τῷ Ὑδροχόῳ μετὰ τοῦ Ἑρμοῦ, ὁ δὲ κύριος αὐτοῦ ὁ Κρόνος ἐν τοῖς Διδύμοις, ἤτοι τῷ οἴκῳ τοῦ Ἑρμοῦ, καὶ διὰ τοῦτο ἐτεκμηράμην ὡς ἀπόδημός ἐστιν ὁ Ἀμερουμνῆς (1). *προσελαβόμην δὲ καὶ σύνεργον πρὸς βεβαίωσιν τὸν Κρόνον, ὃς κύριος ἔτυχε τοῦ κοσμικοῦ χρόνου, πρὸς δὲ καὶ τοῦ Ἡλίου καὶ τοῦ Ἑρμοῦ καὶ ἐδήλου τὴν ἐρώτησιν εἶναι πότε ἐπανήξει ὁ Ἀμερουμνῆς.*

Ἔλαβον δὲ καὶ δ′ τεκμήριον περιεκτικώτερον, ᾧ ἐκέχρητο ὁ Μ α σ ά λ λ α καὶ οἱ ἀ ρ χ α ῖ ο ι. καὶ γὰρ θ′ εἰσὶ ἐν τῷ ὡροσκόπῳ δηλωτικοί · ὁ κύριος αὐτοῦ καὶ ὁ κύριος τοῦ ὑψώματος αὐτοῦ καὶ ὁ τριγωνοκράτωρ καὶ ὁ ὁριοκράτωρ καὶ ὁ κύριος τοῦ θ′ τόπου καὶ ὁ ἀστήρ, πρὸς ὃν γίνεται ἡ κόλλησις τῆς μοίρας τοῦ ὡροσκόπου, καὶ ὁ ἐπὼν τῷ ὡροσκόπῳ ἀστὴρ καὶ ὁ κλῆρος τῆς Τύχης καὶ ὁ

1 *τρία νουπάρχ, ἤγουν τρία ἔννατα* C *ἀπετέλυσα* C 2 *εἰς τὸν τρίτον τόπον* CM *ἐν Δ.* om. CM 3 *εἶπ. δ. τ.* CM 4 *ἡ* om. C *ἀποδημίας* C *ὁ* om. A 4 s. *μεσ. ἐν Ὑ.* A : *ὁ* (om. C) *κύριος τοῦ νουπὰρχ τοῦ Ὑδροχόου μεσ.* (*μεσ. τῷ Ὑδροχόῳ* M) CM 5 *ὅτι* A : *ὡς* CM 6 *ἐξουσ.* om. M *καὶ συμπ.* - 7 *πύλῃ αὐτοῦ* om. C 7 *ἄλλων* coni. Delatte *ἐπὶ* A : *ἐν* M *κρατὴρ* C 10 *ἤτοι* AC : *ἦν* M *καὶ* om. CM 11 post *ὡς*] *ὁ* add. CM *ἐστιν ὁ* AM : *ἡ* C *Ἀ.* A : *Ἀμερομνηῆς* M : *Ἀμερούμενος* C (forma Graeca tituli non satis constat ; apud Du Cangium et Sophoclem s.v. repperiuntur : *ἀμερμουμνῆς, ἀμερουμνῆς, ἀμερουμνίμ, ἀμεραμνουνῆς* al.) *προεβαλλόμην* C *καὶ* om. C 12 *τοῦ Κρόνου* C 13 *καὶ* om. C an *τὸν Ἥλιον κ. τὸν Ἑρμῆν* ? *ἐδήλοι* C 14 *Ἀμερουμνηῆς* M : *Ἀμερούμενος* C 15 *δ ἐκέκτητο ὁ Μασσάλεν* M 16 *Μασάλου* C 17 *καὶ* om. C *αὐτοῦ* om. CM 18 *ὁ τριγωνοκρ. - τόπου* A : *τοῦ τριγώνου κ. τοῦ ὁρίου κ. τοῦ θ′* CM 19 *τῆς μοίρας* om. A 20 *καὶ ὁ - ἀστὴρ* om. A *ἐπὼν* M : *ἑπόμενος* C

(1) *Amîr al Mu'minîn = princeps fidelium*, titulus calipharum est, cf. A. J. Wensinck, *Encycl. of Islam*, I, p. 330 s.

κύριος αὐτοῦ καὶ ὁ διέπων καὶ ὁ κύριος τοῦ Ἡλίου ἡμέρας καὶ τῆς Σελήνης νυκτός. βλέπε οὖν ποῖος ἐκ τούτων πλείονας λόγους ἔχει καὶ ἐκεῖνος ἔσται ὁ ἐπικρατήτωρ · καὶ ἴδε τίς τούτων συνάπτει τῶν ἀστέρων καὶ τίνος τόπου κυριεύει καὶ πρὸς ἐκεῖνον ἀποτέλει. ἐπεὶ δὲ ζῴδιον μέρος τινός ἐστι καθ᾽ ὑπόθεσιν τῆς ἀποδημίας καὶ μέρος τοῦ μεσουρανήματος, λάμβανε τὸν ἔχοντα πλείονας μοίρας καὶ καταλίμπανε τὸν ἔχοντα τὰς ἐλάττονας καὶ ἀνάγαγε τὸν σκοπὸν εἰς τὰ πλείονα. εἰ μὲν οὖν ἐστιν ὁ ἐπικρατήτωρ ἐν τῷ ὡροσκόπῳ μὴ συνάπτων τινί, ἐρωτᾷ περὶ ἑαυτοῦ · εἰ δὲ ἐν τῷ β′, περὶ βίου καὶ περί τινων ἐξοδιασθέντων παρ᾽ αὐτοῦ. καὶ οὕτως ἀποτέλει κατὰ τὴν φύσιν τῶν δώδεκα τόπων. ταῦτα δέ, εἰ μὴ συνάπτει ὁ ἐπικρατήτωρ τινί · εἰ δὲ συνάπτει, ἔχε τὸν συνάπτοντα αὐτῷ ἐπικρατήτορα. καὶ ἴδε τίνες συνάπτουσιν αὐτῷ καὶ ἀποφαίνου τὸν σκοπὸν κατὰ τὴν φύσιν τοῦ τόπου οὗ κυριεύει ὁ συνάπτων ἀστήρ. καί, εἰ ἔστι ὁ ἐπικρατήτωρ ἐν ἰδίῳ ταπεινώματι, ἐρωτᾷ περὶ κλοπῆς ἢ περί τινος πεπτωκότος πράγματος. εἰ δὲ μεταβαίνει ἀπὸ ζῳδίου εἰς ζῴδιον, περὶ ἀποδημίας · εἰ δὲ συνάπτει τῷ κυρίῳ τοῦ η′ τόπου ἢ τοῦ ιβ′, κακοποιοῖς οὖσι, περὶ θανάτου ἢ φόβου. εἰ δὲ στηρίζει πρὸς τὸ ἀναποδίσαι περὶ ἀποδήμου, πότε ἐπανήξει · εἰ δὲ στηρίζει πρὸς τὸ προποδίσαι, περὶ πράγματος, πότε εὐθυνθήσεται. εἰ δὲ ἀναποδίζει, περὶ απόρου πράγματος · εἰ δέ ἐστι μετὰ τοῦ Ἀναβιβάζοντος ἐν τῷ οἰκείῳ ὑψώματι ἢ τῷ μεσουρανήματι, ἔσται ἡ ἐρώτησις περὶ θεοῦ ἢ πίστεως ἢ βασιλέως ἢ ἄρχοντος · εἰ δὲ σύνεστι τῇ Ἀφροδίτῃ καὶ ἐφορᾷ τοῦτον ὁ Ἑρμῆς, ἐρωτᾷ περὶ ἀπολείψεως γυναικός · εἰ δὲ μετὰ τοῦ Καταβιβάζοντος, περὶ ἀντιλογίας καὶ διαμάχης ·

1 *καὶ τῆς* AM : *τῆς δὲ* C 2 *οὖν* om. C 3 *ἔχει πλ. λόγ.* M : *πλ. ἔχ. λόγ.* C *ἐκεῖνος* om. CM *ἐστὶ* CM *τούτῳ* M : *τέλων* C 4 *τόπος* C *ἐκεῖνο* M 5 *ἐπιτέλει* C *τινος μέρος* CM 7 *πλείους* CM *ἐλάττους* M : *ἥττους* C 8 *τὰ* AM : *τὸν* C *εἰ* AM : *ἡ* C 9 *αὐτοῦ* M 10 *εἰ* AM : *ἡ* C post *β′*] *ἐρωτᾷ* add. CM *βίου - ἐξοδ.* A : *τινος ἐξοδιασθέντος* CM 11 *τοῦ δωδεκατόπου* C 12 *δὲ*[1] om. CM *ἐπισυνάπτει* M *δὲ*[2] AM : *γὰρ* C 13 *αὐτὸν* C 14 post *κυρ.*] *καὶ* add. C 15 *εἰ* om. C 16 *πεπτ.* AM : *περὶ πεπτόεντος* C 17 *ζῳδίου* AM : *-ον* C 18 *τόπου* om. CM 19 *στηρ.* AM : *στερέους* C *περὶ ἀποδήμου - 20 προποδίσαι* M : om. AC 20 *πότε* scripsi : *τόπου* M 22 post *μετὰ*] *τὴν* add. M *Ἀν.* AM : *ἀναγ( )* C *οἰκείῳ* om. C 23 *τῷ* om. CM *ἔστι* CM 25 *ἀπολείψεως* scripsi : *ἀπολήψεως* C : *ὑπολή(ψεως)* AM *γυν.* A : *γυναικ(ε)ίας* CM 26 *μάχης* A

εἰ δὲ ὡροσκοπεῖ ἡ Σελήνη, περὶ μάχης καὶ φήμης · εἰ δὲ ἐν τῷ δ′ τόπῳ ἢ μετὰ τοῦ Καταβιβάζοντος ἢ Ἀναβιβάζοντος ἐν τῷ ζ′, ἐρωτᾷ περὶ θησαυροῦ κεχωσμένου · τὸ δ' αὐτό, καὶ εἰ ὁ κύριος τοῦ β′ ἐν τῷ δ′ καὶ ὁ κύριος τοῦ δ′ ἐν τῷ ὡροσκόπῳ. εἰ δὲ ἐν τῷ μεσουρανήματί ἐστιν ὁ ἐπικρατήτωρ μετὰ τοῦ Ἄρεως, ὑπάρχει δὲ καὶ τὸ ζῴδιον πυρῶδες, ἐρωτᾷ περὶ χρυσοποιίας. εἰ δὲ μετὰ τοῦ Καταβιβάζοντός ἐστιν ὁ ἐπικρατήτωρ, ἡ ἐρώτησίς ἐστι περὶ μαγείας · καὶ εἰ ἐπίδῃ τοῦτον ὁ Ἑρμῆς, σημαίνει τὴν μαγείαν ἀληθῆ εἶναι. τὸ δ' αὐτὸ λέγε καὶ εἰ ἐπικρατήτωρ ἐστὶν ὁ Κρόνος καὶ σύνεστι τῷ Ἑρμῇ ἢ συσχηματίζεται αὐτῷ · ἡ γὰρ ἐρώτησίς ἐστι περὶ μαγείας · καὶ ὅτε γίνεται ἔξαυγος, ἤγουν ἑῷος ὁ ἐπικρατήτωρ, ἐστὶν ἡ ἐρώτησις περὶ δαιμονῶντος · καὶ μάλιστα εἰ σὺν τῇ ἑῴᾳ φάσει συνάπτει κακοποιῷ ἢ ἐν ὁρίοις Ἑρμοῦ ὑπάρχει ἢ τοῦ Κρόνου · εἰ δὲ ὡροσκοπεῖ εἰς τὸν οἶκον τοῦ Ἑρμοῦ καὶ εἰ οἱ ἐπικρατήτορες ἐπίκεντροί εἰσι συνάπτοντος αὐτοῖς τοῦ Ἑρμοῦ, ἡ ἐρώτησίς ἐστι περὶ γραμμάτων.

P. 434. *Περὶ τοῦ τί σημαίνει ἡ ἐρώτησις* (1).

Τῶν φώτων ἀποκεκλικότων ἢ ἀσυνδέτων ὄντων τῷ ὡροσκόπῳ καὶ ὑπὸ τῶν κακοποιῶν τῶν κέντρων διειλημμένων οὐ περὶ ἀν-

1 *καὶ* AC : *ἢ* M post *φήμης*] deficit A (subicit cap. *ριδ′ περὶ τοῦ εἰ τέλος λάβοι τὸ ζητούμενον*) 2 *τόπῳ* om. M *μετὰ τοῦ Ἀν.* M 4 *τοῦ β′ - κύριος* M : om. C 5 *μεσ.* M : *ὡροσκόπῳ* C *ὑπ.* C : *ἔστι* M 6 *τὸ* M : *τῷ* C 8 *ἐπίδει* C 9 *ἀλ. εἶν.* M : *ὅτι ἀληθής ἐστι* C 10 post *καὶ*] *εἰ* add. C *τῷ* om. C 11 *ἔσται* M *γένηται* M 12 *δαιμονούντων* C 13 *φαύσει* M *ὑπάρχει* M : om. C 14 *εἰς* (vel *εἴσω*) *τῶν οἴκων* M 15 *ὁ ἐπικρατήτωρ ἐπίκεντρος* C *εἰσι* scr. : *ὦσι* CM 16 *γράμματος* C

C(romwellianus) ; **M**(arcianus 335 = Venetus 7), f. 306^v cap. *φο′* ; **R**(omanus 20 = Vaticanus 1056), f. 45^v cap. *ιθ′* (contulit Cumont) ; **S** (Paris. 13 = Suppl. Gr. 1241, f. 43) ; **P**(tolemaeus).

17 *π. τ. γνῶναι τίς ἡ ἐρ.* M : *Τίς ἡ ἐρ.* R *π. τ.* om. S *τοῦ*] *τὸ* C 18 *ἀποκεκλεικότων* R *ἢ* MP : *καὶ* CRS *ἀσ.* CRPS : *συνδ.* M *τῷ ὡρ.* RPS : *τῶν -ων* M : *τοῦ -ου* C 19 *ὑπὸ* P : *αὐτῶν* CMRS *τῶν*¹ om. M *τ. κ.* P : *τὰ κέντρα* CMRS *δηλουμένων* R : *διειλημένα* S

(1) Haec, ut vidit Cumont, e Ptolemaei *Tetrab.*, III, 9, exscripta sunt multis omissis, paucis mutatis ; cf. etiam Heph., II, 9 ; Palchum (*Catal.*, XI, 1, p. 271).

θρώπου ἐστὶν ἡ ἐρώτησις, ἀλλὰ περὶ κτήνους, καὶ τοῦτο πρὸς τὴν τῶν ζῳδίων φύσιν καὶ πρὸς τὴν συγκρατικὴν τῶν παρανατελλόντων ἀπλανῶν ἰδιοτροπίαν.

Ἄλλως. Σκοπεῖν δεῖ τὴν προγενομένην συζυγίαν καὶ τὸν ταύτης οἰκοδεσποτήσαντα καὶ τὰ φῶτα τῆς καταρχῆς · ἐὰν γὰρ οἱ τῆς καταρχῆς τόποι πάντες οἱ κυριώτατοι ἢ οἱ πλείονες ἀσύνδετοι τυγχάνωσι τῷ τῆς συζυγίας τόπῳ, τὸ σημαινόμενον κτῆνός ἐστιν.

Ἄλλως. Ἐὰν τὰ φῶτα ἐν τετράποσι ζῳδίοις ἢ θηριώδεσιν εὑρίσκηται τῶν κακοποιῶν κεκεντρωμένα, κτῆνος σημαίνει · τῶν δὲ καλοποιῶν μὴ μαρτυρούντων τοῖς φωσὶ θηρίον ἀνήμερον καὶ ἄγριον σημαίνει · μαρτυρούντων δὲ τῶν κακοποιῶν κύνα ἢ αἴλουρον ἤ τι τοιοῦτο δηλοῖ · τοῦ δὲ Ἑρμοῦ μαρτυροῦντος ὄρνιθας ἢ βόας ἢ σύας ἢ αἶγας καὶ τὰ τοιαῦτα. ἐὰν δὲ ἐν ἀνθρωποειδέσι ζῳδίοις τὰ φῶτα καταλαμβάνωνται τῶν ἄλλων οὕτως ἐχόντων καὶ τῶν καλοποιῶν μὴ μαρτυρούντων μηδενὶ τῶν εἰρημένων τόπων, ἑρμαφροδίτους καὶ ἁρποκρατικοὺς δηλοῖ · τοῦ δὲ Ἑρμοῦ συγκεκακωμένου κωφοὺς καὶ νωδοὺς σημαίνει.

P. 436. *<Πάλχου ·> ἐὰν ἐρωτηθῇς παρά τινος τί γίνεται αὐτῷ ἀγαθὸν ἢ κακόν.*

Ἴδε ἀκριβῶς τὴν μεσουρανοῦσαν μοῖραν εἰς τίνος ὅρια ἐξέπεσεν καὶ τίς αὐτὴν ἀστὴρ ἐπιβλέπει καὶ ὁ κύριος τῶν ὁρίων πῶς αὐτὴν

1 *κτήνου* C *τοῦτο* M : *τούτου* C : *τούτων* RS *τὴν τῶν ζῳδ.* MRS : *τοῦ ζῳδίου τὴν* C 2 *φύσ.* om. R *συγκρατητικὴν* C 3 *ἀπλ.* om. S *ἰδιοτροπίας* C 4 deficit M *Σκόπει δὴ* S *προγεγενημένην* C 5 *ταύτην* S *οἰκοδεσπότην* R *γὰρ* om. C 6 *ἢ καὶ* S *πλείους* CS 7 *τυγχάνουσι* CS *τῷ* RS : *τὸ* C *τὸ σημ. κτ. ἐ.* CS : *περὶ κτήνους ἡ ἐρώτησις* R 9 *Ἐὰν* P : om. CRS *τὰ φ.* om. R post *ἐν*] *τοῖς* add. C *τετραπόδοις* R 10 *εὑρ.* P : *εὑρισκόμενος* C : *-μένων* R : *-μενα* S *κεκ.* P : *κεκεντρομένων* C : *-ωμένων* RS *σημ.*] *ἐστί* S 11 *καλ.*] *λοιπῶν* S 12 ante *μαρτ.*] *καὶ* add. CS *δὲ* om. CS *κακ.*] *καλ.* S 13 *ἤ τι* R : *ἤτοι* C : *ἢ* S *τοιοῦτον* CRS *δηλοῖ* om. R *δὲ* om. R 14 *σ. ἢ β.* S *ἐν* om. R *ζῴδια* S 15 *καταλαμβάνονται* C : *-οιτο* S : *εἰσιν* R 18 *καὶ νωδοὺς* om. R *καὶ*] *ἢ* S

C(romwellianus) ; **A**(ngelic. 29 = Romanus 2), f. 96 cap. *δ′* ; **O**(xoniensis 26 = Arch. Selden Supra 17), f. 116 ; **R**(omanus 20 = Vaticanus 1056), f. 51 cap. *κς′* ; Vaticanum 10 (= 1057), f. 105^v cap. *δ′* ex A descriptum omisi

19 - p. 170, 2 om. R *ἐρωτηθεὶς* O 20 *ἀγ. ἢ κακ.* om. CO 21 *μεσ.* om. C 22 *ποῖος ἀστ. αὐ.* CO *βλέπει* C post *ὁρίων*] *αὐτῆς* add CO

ἐπιβλέπει καὶ τίς αὐτῇ μαρτυρεῖ. ἐὰν μὲν οὖν ἀγαθοποιὸς ἐπιβλέπῃ αὐτήν, ἀγαθὰ δηλοῖ, ἐὰν δὲ κακοποιός, φαῦλα.

Εἰ δὲ θέλεις γνῶναι πότε γίνεται τὸ καλὸν ἢ τὸ κακόν, ἀρίθμησον ἀπὸ τῆς μοίρας τοῦ μεσουρανήματος ἕως τοῦ ἀστέρος τοῦ ὠφελοῦντος ἢ βλάπτοντος αὐτὸν ἢ τοῦ μαρτυροῦντος αὐτῷ καί, ἐὰν πλείονες ὦσιν αἱ μοῖραι τοῦ ἀστέρος τῆς ἐποχῆς τοῦ μεσουρανήματος, μετὰ τοσαύτας ἡμέρας ἢ μῆνας ἢ ἔτη ἔσται· ἐπειδὴ ὁ ἀστήρ, ὅτε ἐστὶν ἐλαττόνων μοιρῶν, τὰ παρελθόντα δηλοῖ, ὅτε δὲ πλειόνων, τὰ ἐσόμενα, εἴτε καλὰ εἴτε φαῦλα.

Ὑποδείγματος χάριν· μεσουρανεῖ Κριοῦ μοῖρα ε', ὁ κύριος τῶν ὁρίων τούτων εἴτε ἄλλος ἀστὴρ ἀγαθοποιὸς ἢ κακοποιὸς ἐν Λέοντι μοίρᾳ ιε'· ἐπεὶ πλείων εὑρέθη ἡ μοῖρα τοῦ ἀστέρος μοίραις ι', λέγουσι ὅτι μετὰ ι' ἔτη ἀναφορικῶς γίνεται τὸ καλὸν ἢ τὸ κακόν, ὃ δηλοῖ ὁ ἀστήρ, ἐπειδὴ ὁ Λέων στερεὸν ζῴδιόν ἐστι καὶ διὰ τοῦτο τὰ ἔτη ἔδωκεν. εἰ δὲ μεσουρανεῖ Κριοῦ μοῖρα ς' καὶ ὁ κύριος αὐτοῦ ἢ ὁ ἄλλος ἀστὴρ μαρτυρεῖ τῷ μεσουρανοῦντι ἐν Τοξότῃ μοίρᾳ ις', διότι ἐστὶ πλείων μοίραις ι', λέγω γίνεσθαι μετὰ ι' μῆνας ἀναφορικῶς, ἐπειδὴ ὁ Τοξότης ζῴδιόν ἐστι δίσωμον καὶ διὰ τοῦτο τοὺς μῆνας ἔδωκεν. πάλιν μεσουρανεῖ Κριοῦ μοῖρα δ' καὶ ὁ μαρτυρῶν Καρκίνος μοίρᾳ κ'· ἐπειδὴ πλείων ἐστὶ μοίραις ις', λέγω εἶναι τὸ ἀποτέλεσμα μετὰ ἡμέρας ις', ἐπειδὴ ὁ Καρκίνος τροπικὸν ζῴδιόν ἐστιν καὶ διὰ τοῦτο τὰς ἡμέρας ἔδωκεν.

---

1 αὐτῇ scr. : αὐτῷ A : αὐτὴν CO   εἰ CO   οὖν om. CO   ἀγαθὸς A   ἐπιβλέπει CO   2 εἰ CO   deficit O   3 incipit R   περὶ τοῦ γν. R   post κακόν] μετὰ ὑποδείγματος add. R   ἀρίθμει R   4 s. τὸν ἀστέρα τὸν ὠφελοῦντα ἢ βλάπτοντα αὐ. ἢ (ἤτοι R) τὸν μαρτυροῦντα AR   5 αὐτὰ C   ἢ τ. μ. αὐ. om. C   αὐτὸν R   κ.ε. AC : εἰ δὲ R   6 πλείονας μοίρας ἔχῃ (ἔχει R) CR   τοῦ ἀστέρος - 7 ἐπειδὴ om. CR   8 ὁ om. C   δ. ἐ. ἐ. μ. A : εἰ δὲ ἐλάττον ἐστὶ τῶν μ. ὁ ἀστὴρ R : om. C   ὅτε - 9 ἐσόμενα om. CR   10 post χάριν] φέρε εἰπεῖν add. CR   Κριὸ(ς) μεσουρανοῖ C   Κριῷ R   β' CR   11 ἄλλ. ἀστ. post κακ. C   εἴτε ἀγ. εἴτε κακ. CR   post κακ.] ἦν add. R   ἐν om. A   ιε' μ. τοῦ Λέοντος R   12 μοίρας C   ἐπειδὴ R   πλεῖον R : πλειόνων C   μοίρας CR   ι' om. C   13 λέγω CR   ὅτι om. A   τὸ κακ. ἢ τὸ καλ. C   14 ὁ om. C   καὶ om. C   15 δέδωκα C   ἐμεσουράνει C   μοίρας ς' Κρ. C : Κριὸς μοίρας ἕξ R   16 ὁ om. R   μαρτ. AR : μεσουρανεῖ C   τὸ μεσουράνημα R   ἐν om. R   ἐν μ. C : μοίρας R   17 πλ. scr. : πλεῖον AR : πλειόνων C   μοιρῶν C : μοίρας R   18 τοὺς om. C   19 deficit C   Κριὸς μοίρας R   20 πλεῖον AR : correxi   μοιρῶν A : μοίρας R   21 δεκαὲξ ἡμ. R   ἐπειδὴ - 22 ἔδωκεν A : διὰ τὸ εἶναι τὰ ζῴδια τροπικὰ R

Ἄλλο· μεσουρανεῖ Κριοῦ μοῖρα ιε', ὁ ἀστὴρ ἐν Λέοντι μοίρᾳ ι'· ἐπειδὴ πλεῖόν ἐστι τὸ μεσουράνημα μοίραις ε', λέγω ὅτι πρὸ ε' ἐτῶν γέγονεν.

Οὕτως οὖν καθ' ἕκαστον σχῆμα εἴτε τρίγωνον εἴτε τετράγωνον ἢ διάμετρον ἢ ἑξάγωνον ποίησον κατὰ τὸ ὑπόδειγμα ὃ προείρηται, καί, ἐὰν ὑπερβάλῃ ὁ ἀστήρ, μετὰ τοσαῦτα λέγε, εἰ δὲ ἐλλείπει, πρὸ τοσούτων λέγε γεγονέναι.

Σκόπει οὖν καὶ τὸν Ἥλιον τίς ἐπιβλέπει αὐτὸν ἐκ τετραγώνου ἢ διαμέτρου ἢ συνὼν αὐτῷ καί, ἐὰν μὲν ἀγαθοποιὸς ᾖ, νίκην καὶ εὐφροσύνην δηλοῖ· εἰ δὲ κακοποιός, ζημίαν καὶ ἀνάγκην καὶ φόβον· καὶ ἄνευ μὲν μαρτυρίας ἀγαθοποιῶν ἀπόλλυσι καὶ τὴν ἐξουσίαν αὐτοῦ καὶ τὴν ἀξίαν. ἐὰν δὲ ἐπιβλέπῃ ὁ Ἄρης τὸν Ἥλιον ἐκ τετραγώνου ἢ διαμέτρου, ἀνταρσίας καὶ ἀποστασίας καὶ ἐπιβουλὴν αὐτῷ δηλοῖ. εἰ δὲ θέλεις μαθεῖν ἐν ποίῳ τόπῳ ἐστὶν ἡ ἀνταρσία, βλέπε τὸν τόπον τοῦ Ἄρεως καί, ἐὰν εὑρεθῇ ἀπὸ τοῦ ὡροσκόπου ἕως τοῦ ὑπογείου, ἐπὶ τὰ βόρεια μέρη ἐστίν· ἐὰν δὲ ἀπὸ τοῦ ὑπογείου ἕως τοῦ δυτικοῦ, ἐπὶ τὰ δυτικά· ἐὰν δὲ ἀπὸ τοῦ δύνοντος ἕως τοῦ μεσουρανοῦντος, ἐπὶ τὰ νότια· ἐὰν δὲ ἀπὸ τοῦ μεσουρανοῦντος ἕως τοῦ ὡροσκόπου, ἐπὶ τὰ ἀνατολικά. βλέπε δὲ καὶ τὸν Ἄρεα, τίνι συνάπτει ἢ ἀπὸ τίνος ἀπέρρευσε· καί, ἂν μὲν ἀγαθοποιῷ συνάπτῃ, νικήσει ὁ ἀνταρσιάσας, εἰ δὲ κακοποιῷ, ἡττηθήσεται. ὁμοίως καὶ τὸν Ἥλιον σκέπτου· ἐὰν Κρόνος τετραγωνίζῃ τὸν Ἥλιον, ἀσθένειαν σημαίνει τῷ ἄρχοντι· ὁμοίως, ἐὰν Κρόνος μετὰ Σελήνης μαρτυρῶσι τὸν Ἥλιον, ἀσθένειαν δηλοῖ τῷ ἄρχοντι. σκέπτου δὲ καὶ τὸ ζῴδιον ὃ ἐπέχει ἡ Σελήνη, καί, οἷον ἂν εὑρεθῇ, ἐκεῖνο τὸ μέλος λέγε σινοῦσθαι. οἷον· ἐὰν Κριῷ, κεφαλήν, ἐν Ταύρῳ τράχηλον καὶ ἑξῆς ὁμοίως. ἔτι δὲ καὶ τοῦτο σκέπτου· ἐὰν Κρόνος ᾖ μετὰ Ἀφροδίτης, ἡ ἀρρωστία καὶ τὸ πάθος γίνεται ἐν τῇ γυναικὶ αὐτοῦ· εἰ δὲ μετὰ Ἑρμοῦ, ἐπὶ τοῖς τέκνοις αὐτοῦ· εἰ δὲ μετὰ Ἄρεως, ἐπὶ στρατοπέδῳ αὐτοῦ καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ· εἰ δὲ μετὰ Διός, ἐπὶ τοῖς ἄρχουσι καὶ τοῖς ἐμφανέσι προσώποις.

---

1 ἄλλως R   Κριὸς μοίρας R   ἐν om. A   μοίρας R   post ι'] καὶ add. R   2 ἐπειδὴ om. A   ἔχει R   μοιρῶν A : μοίρας R   4 οὕτω A   οὖν om. A   εἴτε - 6 ἐὰν A : ποιεῖ κατὰ τὸ ῥηθὲν ὑπόδ. ἤγουν ἐπί τε τριγώνου, τετραγώνου, ἑξαγώνου καὶ διαμέτρου σχήματος. ἐὰν οὖν R   6 ἐλλείπει A : ἔλαττόν ἐστι τῶν μοιρῶν R   7 τοσαῦτα R   ὅτι γέγονε R   8 deficit R   8 ss. cf. *Catal.*, VIII, 1, p. 248   16 βόρ. Boer : κύρια (?) A   24 μαρτυροῦσι A   28 ᾖ scr. : ἐστὶ A   30 στρατόπεδον A   31 τοὺς δούλους A

P. 438. <Πάλχου·> ἄλλος τρόπος ζητήσεως πότε ἐπανελεύσεται.

Ἀπὸ τῆς μοίρας τῆς Σεληνιακῆς λάμβανε ἐπὶ ὁποτέρων τῶν ἀγαθοποιῶν τῶν μοιρῶν καὶ μετρήσας κατὰ σχῆμα οἱονδήποτε πρῶτον ὥρας, εἶτα ἡμέρας, εἶτα μῆνας ἐπαγγέλλου. ἐὰν δὲ καὶ οἱ μῆνες παρέλθωσι, μετὰ τοσαῦτα ἔτη λέγε, ὅσον ἐστὶ τὸ διάστημα ἀπὸ τῆς μοίρας τοῦ ἔγγιστα ἀγαθοποιοῦ ἀστέρος ἢ κατὰ τὸ πρῶτον σχῆμα εὑρισκομένου. γίνωσκε τὸ βράδιον ἢ τάχιον ἀνύσειν τὴν ἀποδημίαν ἐκ τῶν φύσεων τῶν ὑποδεξαμένων τόν τε ὡροσκόπον καὶ τὴν Σελήνην τῆς ἀποδημίας καὶ τῆς ὁδοιπορίας, προσέχων οὖν τὴν ἔγγιστα τοῦ εὑρισκομένου κατὰ τετράγωνον ἢ διάμετρον τῆς Σελήνης.

P. 446. <Πάλχου·> ἄλλως εἰ συλλαμβάνει.

Ὁ οἰκοδεσπότης τοῦ ε′ τόπου καὶ ἡ Σελήνη καὶ ὁ κύριος αὐτοῦ εἰ πάντες ἢ οἱ πλείους τυχόντες ἐπὶ τοῦ ὡροσκόπου ἢ τοῦ μεσουρανήματος, συλλαμβάνει· καὶ μᾶλλον εἰ ὁρῶνται οὗτοι καὶ οἱ τόποι αὐτῶν παρὰ τῶν ἀγαθοποιῶν.

De quaternionibus

Argumentum insolitum est quaternioni Pythagoreorum (cf. e.g. Theon. Smyrn. p. 93-99 H. ; Hierocl., *Comm. in carmen aur.*, p. 464 ss. M. ; A. Delatte, *Études sur la littérature pythagoricienne*, 1915,

---

C(romwellianus) ; **A**(ngelic. 29 = Romanus 2), f. 107 cap. λζ′ ; Vaticanum 10 (= 1057), f. 119v ex A descriptum omisi.

1 περὶ τοῦ πότε ἐπανελ. ὁ ἀπόδημος C 3 μ. τ. Σ. A : τ. Σελήνης μ. C 4 οἱονδηποτοῦν C 5 ἐπαγγέλου A : ἐπάγγελε C ἐὰν scr. : εἰ AC 6 παρέλθουσι C ὅσον A : ὅτι C 8 εὑρισκόμενον C γίν. scr. : γινώσκων A : γινώσκειν C τὸ C : τοῦ A 9 τῆς ἀποδημίας C φάσεων C post τῶν] τε add. A τόν τε A : τῶν C 11 προσέχ. - εὑρ. A : προσέχειν δὲ δεῖ τοῦ ὄντως εὑρ. τ. ἐγγ. C οὖν Delatte : οὐ A

C(romwellianus) ; **A**(ngelic. 29 = Romanus 2), f. 128 cap. ρι β′ ; Vaticanum 10 (= 1057), f. 141v ex A descriptum omisi.

13 εἰ ἐρωτηθῇς περὶ γυναικός, εἰ συνέλαβε C συλλαμβάνοι A 14 αὐτῆς C 15 εἰ scr. : ἢ οἱ A : ἢ C ἢ om. C πλειόνες C verbum desideratur : an τυγχάνουσι vel ἔτυχον ὄντες ? 16 συνέλαβε C 17 περὶ C

p. 249 ss.) astrologiam quoque subicere. Attamen res singulae non sunt plane insolitae : simili enim ratione quattuor elementa, anni tempora, caeli regiones, humores iam ab Antiocho enumerabantur (*Catal.* I, p. 143, 7 ; 146, 25 ; VIII, 3, p. 105, 2 ; cf. VII, p. 103 s.). Accedit quod mathematici in aliis quoque rebus Pythagoreos secuti sunt, e.g. in eis, quae de caeli laeva et recta regionibus, de caelestibus triangulis et quadratis etc. docuerunt (cf. Bouché-Leclercq, *Astrol. gr.*, p. 172 s. ; Boll, *Neue Jahrb.* XXI, 1908, p. 119 ; id. *Sternglaube u. Sterndeutung*³, p. 90 ; Frank, *Plato u. die sog. Pythagoreer*, p. 184 ss.). Haec omnia auctor noster, Pythagoreus, quem post Ptolemaeum vixisse necesse est (cf. p. 174, 29), in usum suum convertit. Unde tamen singulas res hauserit, e.g. doctrinam de quattuor planetis vel de aspectu quadrato fausto, nescio.

P. 761. Ἔοικεν ἡ πολυθρύλλητος τετρακτὺς πάντα διακοσμεῖν, καθὼς καὶ ἐκ τῆς ἐπαγωγῆς γίνεται δῆλον. αἵ τε γὰρ αἱ τέσσαρες ὧραι τοῦ ἐνιαυτοῦ καὶ αἱ ἀνάλογον αὐταῖς τέσσαρες τοῦ μηνὸς ἑβδομάδες πάντα τελεσφοροῦσι, καὶ τὰ τέσσαρα στοιχεῖα καὶ οἱ τέσσαρες χυμοὶ καὶ τὰ τέσσαρα κέντρα καὶ οἱ τέσσαρες πλανώμενοι (ὁ γὰρ Ἑρμῆς ἐπίκοινος) καὶ τὰ τέσσαρα τῆς μετρήσεως γένη, σημεῖον, μῆκος, ἐπίπεδον, στερεόν, καὶ ἁπλῶς εἰπεῖν, καθὼς καὶ [ἐν] τῷ σοφωτάτῳ πεφιλοσόφηται Πυθαγόρᾳ, πάντα τῇ θαυμασιωτάτῃ τῆς τετρακτύος δυνάμει καὶ γίνεται καὶ τελειοῦται καὶ φρουρεῖται τὰ ἐν τῷ κόσμῳ. αὕτη οὖν ἡ τετρακτὺς ἀφράστῳ τῇ δυνάμει χρωμένη τά τε τοῦ ζῳδιακοῦ τέσσαρα σημεῖα, καθὰ τὰ ἰσημερινὰ [καὶ] τοῖς δύο τροπικοῖς συμβάλλει, ἀρχὰς καὶ αἰτίας τῶν ἐφεξῆς καὶ ἑπομένων μοιρῶν ϙ′ προυβάλετο καὶ τοσοῦτον αὐτοῖς δυνάμεως μετέδωκεν, ὥστε τόν τε Κριὸν ὅλον καὶ τὸν Ζυγὸν ἰσημερινὰ καλεῖσθαί τε καὶ γνωρίζεσθαι ἐκ τῶν σημείων τῶν ἰσημερινῶν καὶ τὸν Καρκίνον καὶ Αἰγόκερων ὅλον τροπικά· καὶ φαίνονται ἐν τοῖς ἀποτελέσμασι οὕτως ἐνεργοῦντα. τὸ δ' αὐτὸ καὶ ὁ λοξὸς τῆς Σελήνης κύκλος ποιεῖ· ἀνάλογον γάρ εἰσιν οἱ μὲν σύνδεσμοι τοῖς ἰσημερινοῖς, τὸ δὲ ἐπικάμπια τοῖς τροπικοῖς. ἀλλὰ καὶ οἱ ἀστέρες ἀπὸ τῆς πρὸς

C(romwellianus)

5 τέσσαρεις C 6 τέσσαρεις C 8 ἐν del. Delatte cf. e.g. *Carm. aur.*, 47 s. ... τετρακτύν, παγὰν ἀενάου φύσεως 11 cf. Macrob., *Sat.*, I, 19, 15 12 τὰ ἰσ. scripsi : τῷ ἰσημερινῷ C καὶ C : seclusi 14 προυβάλλετο C 20 ἐπικ. scripsi (cf. Doroth. in *Catal.*, VI, p. 91 ; Ptol., *Tetrab.*, III, 13, 13 ; 14, 37) : περικάμπια C 20 ss. cf. Antiochum (*Catal.*, VII, p. 118 cap. κς′) ; Ptol. *Tetrab.*, I, 8 ; Porph., *Introd.*, c. 2 (*Catal.*, V, 4, p. 191 ss.)

Ἥλιον συνόδου ἕως τοῦ πρώτου στηριγμοῦ ἀλλοίαν ἔχουσι τὴν δύναμιν, εἶτα ἕως τῆς ἀκρονυχίας ἀλλοίαν, καὶ πάλιν ἕως τοῦ β' στηριγμοῦ, καὶ τετάρτην ἕως τῆς πρὸς Ἥλιον συναφῆς. ἀλλὰ καὶ αἱ τῆς ἑβδομάδος ἡμέραι ἑπτά, καὶ αἱ νόσοι δι' ἑπτὰ ἡμερῶν ἀλλοιώσεις λαμβάνουσι. καὶ ἐν τοῖς γενεθλιακοῖς ἥ τε πρὸ ἡμερῶν ἑπτὰ τῆς ἐκτροπῆς, τουτέστιν ἡ ἐν τῷ δεξιῷ τετραγώνῳ ἰσόμοιρος ἐποχὴ τῆς Σελήνης, καὶ πάλιν ἡ μετὰ ἡμέρας ἑπτά, τουτέστιν ἡ ἐν τῷ εὐωνύμῳ τετραγώνῳ, θαυμάσια οἷα προθεσπίζει ἡμᾶς ἐκδιδάσκουσα. τούτων οὖν οὕτως φαινομένων καὶ τοῦ τετραγώνου σχήματος ἐν τῇ φύσει τοῦ παντὸς μεγάλας δυνάμεις καὶ τελεσιουργοὺς ἔχοντος εἰκότως οἱ τῶν ἀστέρων τετραγωνισμοὶ μέγιστα δύνανται ἀποτελεῖν καὶ μάλιστα οἱ καθυπερτεροῦντες. τὰ γοῦν τρίγωνα καὶ ἑξάγωνα σχήματα τῶν ἀστέρων ἐνεργοῦντα εἰς τὴν γένεσιν ἀδιάφορον καὶ ἀπαρατήρητον ἔχουσι τὸν δεξιὸν ἢ εὐώνυμον ἀστέρα, τὰ δὲ τετράγωνα σχήματα οὐχ οὕτως· πολὺ γὰρ ὁ δεξιὸς τετράγωνος Κρόνος πρὸς τὸν Δία βλαπτικώτερος τῇ γενέσει ὑπάρχει ἢ ὁ εὐώνυμος. ἐπεὶ οὖν ἡ πολὺ ἀλλοίωτος τῶν περὶ γῆν γένεσις διὰ τῶν τέτραχα τεμνομένων, ὡς εἴρηται, κύκλων μεταβολὰς νεωτέρας ἐκδέχεται, καθὼς αἱ τέσσαρες ὧραι καὶ αἱ τέσσαρες ἑβδομάδες τοῦ μηνὸς ἐναργῶς φαίνονται, εὐλόγως καὶ πᾶς ἀστὴρ ἕως τῆς ἑαυτοῦ τετραγώνου πλευρᾶς ἑπόμενος δραστικώτατός ἐστι· ἔφθη γὰρ ἤδη τὰς ἑαυτοῦ ἀπορροίας εἰς τὴν γένεσιν ἐπιπέμψας. οἱ δὲ εἴσω αὐτῆς τῆς ἐποχῆς καὶ τῆς τετραγώνου πλευρᾶς αὐτοῦ, ὡς τὸ εἰκός, ἐμπίπτοντες ἀστέρες οὐ δύνανται τοσοῦτον ἐνεργῆσαι διὰ τὸ ἤδη προδιατεθῆναι τὴν γένεσιν ὑπὸ τοῦ προανατείλαντος ἢ προμεσουρανήσαντος ἢ προδύνοντος. καὶ γὰρ καὶ αἱ τοσαῦται τῶν ἀστέρων κεντρώσεις μεγάλως δύνανται συνεργεῖν τὴν ἀλλοίωσιν τῶν γινομένων, ὡς καὶ ἡ πεῖρα μαρτυρεῖ καὶ ὁ θαυμάσιος Π τ ο λ ε μ α ῖ ο ς κελεύει ἐν ταῖς τῶν καθολικῶν συμπτωμάτων προτελέσεσι παρατηρεῖσθαι τὰ τῶν λαμπρῶν ἀστέρων πρὸς τὰ ὑπὲρ γῆν κέντρα καὶ τὸν Ἥλιον φαινομένους ἐννέα μετασχηματισμούς. αἱ γὰρ τοῦ Ἡλίου κεντρώσεις καὶ αἱ τῆς Σελήνης πόσον δύνανται ἐνεργεῖν κατὰ τὴν τῆς τετρακτύος δημιουργίαν, φανερώτατον οὐ μόνον τοῖς μαθηματικοῖς, ἀλλὰ καὶ τοῖς περὶ σφυγμῶν γράφασι τῶν ἰατρῶν καὶ τοῖς ναυτιλλομένοις καὶ τοῖς γεωργοῖς καὶ ποιμέσι.

---

5 λαμβάνουσαι C 8 ἐκδιδάσκουσι C 16 διαβλαπτ. C : distinxi 17 ὑπ. ἢ ὁ εὐ. scripsi : ὑπερευώνυμος C 28 γινωμένων C 29 *Synt. math.*, VIII, 4 (II, p. 189, 10 Heib.) ; cf. *Tetrab.*, II, 8, 4 κελεύων C

P. 762. <Π ε ρ ὶ χ ρ ό ν ω ν δ ι α ι ρ έ σ ε ω ς.>

Δεῖ τὸν φιλοθεάμονα τῆς χρονικῆς διαιρέσεως λαβόντα τὴν δοθεῖσαν γένεσιν ὑποθέσθαι τάς τε τῶν ἀστέρων ἐποχὰς καὶ τὰ κέντρα καὶ τοὺς κλήρους ἠρεμοῦντας ἀεὶ ὡσαύτως, ἔστ' ἂν ᾖ ὁ γεννώμενος καὶ καλεῖν τοῦτο θεμέλιον ἢ πῆξιν ἢ καταρχὴν ἢ διάθεμα ἢ θέμα· οὐδὲν γὰρ τὸ ὄνομα ἐμποδίζει ἢ συνεργεῖ. εἶτα δεῖ ὑποτίθεσθαι ἅμα τούτων τῶν ἐποχῶν ἀεὶ ὡσαύτως ὄντων καὶ τῶν κέντρων καὶ τῶν κλήρων μετακινεῖσθαι νοητῶς τὸ αὐτὸ διάθεμα ἀρρήτῳ τινὶ καὶ ἀνεκφράστῳ δυνάμει τῶν οὐρανίων ἀπορροιῶν· κινεῖσθαι δὲ ὡσαύτως τῷ οὐρανῷ ἐκ τῶν εὐωνύμων ἐπὶ τὰ δεξιά, ἵνα ἅμα δύο ὦσι διαθέματα, τὸ μὲν ἠρεμοῦν ἀεί, τὸ δὲ τούτου ἠρεμοῦντος κινούμενον, ὡς εἴρηται, ἐκ τῶν εὐωνύμων ἐπὶ τὰ δεξιά, οἷον ἀπὸ ἀνατολῆς ἐπὶ μεσημβρίαν καὶ ἀπὸ μεσημβρίας ἐπὶ δυσμὰς καὶ ἀπὸ δυσμῶν ἐπὶ τὸ ὑπόγειον καὶ ἀπὸ τούτου ἐπὶ τὸν ὡροσκόπον. συμβαίνει οὖν ἐκ τῆς τοιαύτης κινήσεως τὰς τῶν ἀστέρων ἐποχὰς τὰς τῶν κινουμένων, ὡς εἴρηται, ἐπὶ τὰ δεξιὰ ἀλλοίας καὶ ἀεὶ ἀλλοίας γίνεσθαι, ὡς τὸν ὄντα ἀστέρα τυχὸν ἐν Κριῷ κατὰ πῆξιν καὶ ἠρεμοῦντα διὰ τὴν τοῦ αὐτοῦ διαθέματος ἐπὶ τὰ δεξιὰ κίνησιν εὑρίσκεσθαι μετὰ ἔτη τινὰ ἐν Ταύρῳ καὶ ἐν Διδύμοις καὶ ἐφεξῆς, ἔστ' ἂν ᾖ καὶ διαρκῇ ὁ τεχθείς. τούτων οὖν προκατανοηθέντων, ἐπειδὴ οἱ τῆς ἀγαθῆς δυνάμεως ἀστέρες ὠφελεῖν εἰώθασιν ὡς συμπαθοῦντες, οἱ δὲ τῆς φθαρτικῆς βλάπτειν ὡς ἀντιπαθοῦντες, συμβαίνει τὸν ἐν τῷ ια' τυχὸν ὄντα ἀστέρα κατὰ θεμάτιον μετὰ ἔτη τινα ἐλθόντα διὰ τῆς τοιαύτης κινήσεως τῆς ἀφανοῦς καὶ ἀρρήτου ἐπὶ τὸ κατὰ πῆξιν μεσουράνημα ἢ βλάψαι τὰ ἐκ τοῦ μεσουρανοῦντος δηλούμενα τῆς γενέσεως πράγματα ἢ ὠφελῆσαι, ὅταν ᾖ ἤτοι φθοροποιὸς ἢ ἀγαθοποιὸς ὁ καταλαβὼν τὸ μεσουράνημα. τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ ὡροσκόπου καὶ Ἡλίου καὶ Σελήνης καὶ κλήρων καὶ ἑκάστου τῶν ἀστέρων δεῖ ἐκλαμβάνειν. εἰ γὰρ ἀκτὶς ἀγαθοποιοῦ τυχὸν φθάσει τὸν τοῦ Ἄρεως, ὠφελήσει τὰ στρατιωτικὰ τῆς γενέσεως πράγματα, εἰ δὲ κακοποιοῦ, βλάψει.

---

1 titulum e l. 2 supplevi ; cf. Doroth. III, frg. 50 s. Steg. ; Vett. Val., IV, 4 ; Ptol., *Tetrab.*, IV, 10 ; Heph., II, 25 (*Catal.*, VI, p. 101 ; VIII, 2, p. 90) ; Rhetor. (*Catal.*, VIII, 1, p. 241 s.) ; Palchum, supra p. 157 s.
2 Δεῖ scripsi : Εἰ C λαμβόντα C 5 γενώμενος C
8 μετακινῆσθαι C 10 κινῆσθαι C εὐωνίμων C 12 εὐωνίμων C 29 κλήρων C : an κλήρου Τύχης ?

τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων ἀστέρων δεῖ παρατηρεῖν. τὰς δὲ μεθόδους, καθ' ἃς τὴν ποσότητα τῶν ἐτῶν καταλαμβάνειν ἐπιστημονικῶς δυνατόν, δι' ὅσων ὁ ἑπόμενος τόπος καὶ κινούμενος ἐπὶ τὸν προηγούμενον καὶ ἠρεμοῦντα μεταβαίνει, πάσας ταύτας ὁ μέγας Π τ ο λ ε μ α ῖ ο ς ἐν τῷ περὶ χρόνων ζωῆς σαφῶς καὶ ἀκριβῶς ἐδίδαξεν. τοῦτο μέντοι δεῖ παρατηρητικῶς φυλάττειν ἀεί, ὅτι ἐπὶ τὰ δεξιὰ ἐκ τῶν εὐωνύμων ἡ τοιαύτη γίνεται κίνησις, ἀλλ' οὐκ ἔμπαλιν. καὶ ὁ ἑπόμενός ἐστι τόπος ὁ κινούμενος, ὁ δὲ ἡγούμενος ἠρεμεῖ. ἐὰν γοῦν ἐν τῷ β' κλίματι ὑποθώμεθα ὡροσκοπεῖν μὲν τὸν Δία ἐν Αἰγοκέρωτος ἀρχῇ, δύνειν δὲ κατὰ διάμετρον Κρόνον, μεσουρανεῖν δὲ Ἄρεα Ζυγῷ κδ', κατὰ διάμετρον δὲ Ἀφροδίτην Κριῷ κδ', εἰ μὲν ζητοῦμεν πότε ὁ Ζεὺς φθάσει τὸν Ἄρεα, λέγομεν ὅτι μετὰ ἔτη ξη' · τοσοῦτον γὰρ διαφέρουσι αἱ τοῦ Διὸς καὶ Ἄρεως συμμεσουρανήσεις. ἀλλ' οὐχὶ ταῖς συνανατολαῖς χρησόμεθα · οὐ γὰρ ὁ Ἄρης εἰς Δία ὑπόκειται ἐπὶ τὰ εὐώνυμα ἐρχόμενος, ἀλλ' ἔμπαλιν. ἐὰν δέ ποτε ἡ Ἀφροδίτη τὸν Δία φθάσῃ ἐκ τῶν συνανατολῶν, εὑρήσομεν χρόνους πα' · ἐὰν δὲ μεταξὺ ὦσι τῶν κέντρων οἱ τόποι, ἐξ ἀναλόγου ποιοῦμεν πρὸς τὴν ἀπόστασιν τῶν καιρικῶν ὡρῶν.

De temporum dominatu

P. 1219... ὁλοσχερέστερον ἀποδοῦναι λόγον, ἕκαστος ἀστὴρ δηλοῖ τοῦ χρόνου πάροδον καὶ τὴν πρᾶξιν καὶ τὴν ἀλλοίωσιν τοῦ τόπου, οὗ κεκλήρωται ζῴδιον. καὶ οὐ μόνον τὴν θέσιν, ἣν ἔχουσιν ἐν τοῖς ζῳδίοις ἐν ἀρχῇ τοῦ χρόνου οἱ ἀστέρες, δεῖ ἐπισκέπτεσθαι, ἀλλὰ καὶ ἣν ἔχουσι ἐν τοῖς τεταρτημορίοις τοῦ διαθέματος. τὰς συμπαρουσίας καὶ τὰς ἐπιβλέψεις τοῦ Ἡλίου εἰς τοὺς ἀστέρας οἱ μὲν ἔγκριτοι τῶν ἀποτελεσματικῶν οὐ βούλονται εἶναι, εἰ μὴ μέχρι μοιρῶν ζ', οἱ δὲ κοινότεροι καὶ πλείους τῶν ζ' · ἐγὼ δὲ καὶ τὰς ζ' μοίρας πολλὰς εἶναι λογίζομαι. Ἑρμῆν μὲν εἰς κακίαν λέγουσι τρέπεσθαι ἑῷον μὲν ἀποστάντα τοῦ Ἡλίου μοίρας ιβ', ἑσπέριον δὲ μοίρας ιθ', ἐντὸς δὲ τούτων Κρόνον καὶ Ἄρεα

2 ἐπιστιμονικῶς C 4 μεταβαίνει scripsi (cf. *Tetrab.*, III, 11, 24) : καταλαμβάνειν C 5 *Tetrab.*, III, 11 6 παρατηρικῶς C 7 ἤτοι αὐτὴ C 12 τὸν bis C 13 διαφ. γὰρ C 15 εἰς scr. : εἰ C

20 Inc. mutil. sine titulo

ἐνεδρευτὰς καὶ κρυφιοδόλους νομίζουσι πάντες ἐκ συμφώνου. καὶ διὰ τοῦτο πανταχῇ, μάλιστα δὲ ἐν τῇ τοῦ χρόνου γενέσει, δεῖ ἐπινοεῖν, ὡς εἴρηται, τήν τε συναφὴν αὐτῶν καὶ ἀπόρροιαν καὶ τὴν σχέσιν, ἣν πρὸς τὸν Ἥλιον ἔχουσι · ἐὰν γὰρ βλαπτικοὶ πρὸς τὸν Ἥλιον γίνωνται, καὶ τὸν χρόνον βλαπτικὸν εἶναι λέγομεν, μάλιστα μηδενὸς ἀγαθοῦ συμπαρόντος ἢ ἐπιβλέποντος τὸν Ἥλιον. ὁ δὲ κλῆρος τῆς Τύχης κακῶς κείμενος, ἢ αὐτὸς ἢ ὁ κύριος τοῦ τόπου αὐτοῦ οὐκ ἀγαθὰ σημαίνει · πονηρὸς γὰρ ὢν ὁ δεσπότης τοῦ κλήρου τῆς Τύχης πονηρὰ προλέγει · καὶ ὕπαυγος ὢν οὐκ ἀγαθά. ὅμως οὖν ὁ δεσπότης τοῦ χρόνου τὰ μείζονα τῶν πραγμάτων δηλοῖ καὶ καθολικωτέρας βασιλικῶν τε καὶ κοσμικῶν πραγμάτων ἀλλοιώσεις. καθεξῆς δὲ οἱ μετ' αὐτὸν λόγους μᾶλλον ἐπέχοντες κατὰ τάξιν, οἱ δὴ τριγωνοκράτορες τοῦ ὡροσκόπου οὐ μόνον δέ, ἀλλὰ καὶ οἱ ἐκεῖσε εὑρισκόμενοι ἀστέρες καὶ λόγον ἔχοντες ἐν τοῖς τριγωνοκράτορσι · καὶ γὰρ τὰ τῶν ἀρχόντων ἐκ τοῦ β' κατὰ τάξιν τοῦ χρονοκράτορος, τὰ δὲ τοῦ λαοῦ ἐκ τοῦ γ' πρὸς τὴν προλεχθεῖσαν θέσιν. συλλήβδην δὲ εἰπεῖν · καλῶς ὁ χρονοκράτωρ διακείμενος πάντας ἐνδυναμοῖ πρὸς τὰ καλά, κακῶς δὲ κείμενος τὰ ἐναντία. τὴν δὲ ταχυτῆτα τῶν μεταβολῶν τῶν πραγμάτων οὕτως προδηλοῖ · ἐὰν ταχυδρομῇ ἢ ἐν ἀρχαῖς τῶν ζῳδίων ᾖ ἢ μεταβαίνων ἐκ ζῳδίου εἰς ζῴδιον ἢ ἀπὸ κράσεως εἰς κρᾶσιν ἢ τὴν αἵρεσιν ταχυτέραν ποιῶν ἢ τὴν συναφὴν δυνατωτέραν ἢ καὶ ταπεινοτέραν, ταῦτα καὶ τὰ τοιαῦτα δηλοῦσι μετάβασιν τῶν πραγμάτων ἢ καὶ εἰς τὸ ἐναντίον ἢ καὶ πρὸς τὸ βέλτιον. ἐπεὶ δὲ ταῦτα οὕτως ἔχειν λέγομεν, ἀνάγκη γνῶναι καὶ τὴν τῶν ἐφορώντων κρᾶσιν καὶ φύσιν καὶ τοὺς τόπους καὶ ὁποία τίς ἐστιν ἐπίβλεψις, καθὼς καὶ ἐπὶ τοῦ κυρίου τοῦ χρόνου παρηγγέλθη. φύσιν μὲν λέγω τὴν κακοποιίαν, κρᾶσιν δὲ τὴν εἰς τὴν θέσιν καὶ τὴν συνάφειαν καὶ ἣν ἔχουσι καθ' αἵρεσιν ἀναλογίαν · τόπους δὲ ἀγαθοὺς ἢ κακούς, ὅταν ἐπὶ κέντρου ἢ ἐπὶ τῆς ἀναφορᾶς ἢ ἐν τοῖς ἀποκλίμασίν ὦσι · δύναμιν δέ, ὡς ὅταν ἀνατολικοὶ ἢ ἑσπέριοι ἢ ὕπαυγοι ἢ ἡμερινοὶ ἢ νυκτερινοὶ ἢ ἐν ἰδίοις τριγώνοις ἐπίκεινται ἢ ἐν ὑψώμασιν. οὐ μάτην δὲ ταῦτα λέγομεν ἐκζητεῖσθαι · τοῦ γὰρ δεσπότου τοῦ χρόνου ἡ θέσις κατὰ ἀνάγκην ὅλον ὅλως ἴδιον λόγον οὐ συνιστᾷ. οὐδέποτε γὰρ δυνατὸν ἑαυτοῦ τὸν οἶκον εἶναι

10 ἀγαθός C 12. s verbum desideratur (e.g. δηλοῦσιν) 21 ᾖ scr. : ἐστίν C 23 post ταῦτα] γὰρ C : delevi 28 λέγων C 30 post κακοὺς] καὶ C : delevi 31 ὦσι scr. : εἰσί C 35 οὐ συν. scr. : μὴ συνιστᾶν C

καὶ αὐτοῦ τὸν τρίγωνον καὶ αὐτοῦ τὸ ὅριον καὶ τὸ ὕψωμα καὶ τὸ πρόσωπον καὶ τὸ δωδεκατημόριον καὶ τὰ ἄλλα, ὅσα ἐκζητοῦμεν. καὶ διὰ ταύτης τῶν ἐχόντων μετ' αὐτοῦ λόγον κοινωνίας τὸ πανταχοῦ ζητούμενον ὑπὸ πάντων κἀνταῦθα ἐπιζητεῖται. καὶ χαίρει ὁ χρονοκράτωρ τῶν κοινωνούντων καλῶς διακειμένων, ἐλαττοῦται δὲ τῆς ὅλης δυνάμεως αὐτῶν κακῶς διακειμένων. πρῶτον μὲν ἐκεῖνο χρὴ σκοπεῖν, ὅτι, ἐὰν ὁ χρονοκράτωρ εὑρεθῇ ἐν τῷ μεσουρανήματι, ὁ δὲ ὁριοκράτωρ ἐν τῷ ὡροσκόπῳ, ἐπιδίδωσι διόλου τῷ χρονοκράτορι δύναμιν ἀγαθήν. καὶ τοῦτο πάλιν ἐκ τῆς φύσεως δείκνυται αὐτοῦ τε καὶ τοῦ ζῳδίου ἐφ' οὗ ἕστηκεν. οἷον λόγου ἕνεκα, εἰ μέν ἐστι τῶν ἀρρένων ἀστέρων αὐτός τε καὶ τὸ ζῴδιον, τὴν βοήθειαν καὶ τὴν ἰσχὺν κομίζεται ὁ χρόνος ἀπὸ ἀρρένων· καὶ πάλιν εἴ τις τῶν ἐνδόξων ἐστὶν ἢ τῶν μεγιστάνων ἢ τῶν ἀγαθῶν ἢ τῶν μέσων ἢ τῶν ἐλαχίστων, κατὰ τὴν φύσιν καὶ ἰδιοτροπίαν τῶν τε ζῳδίων καὶ τῶν ἀστέρων. τὰ δὲ ζῴδια κατὰ τὴν ἰδίαν φύσιν, ὡς εἴρηται, καὶ κατὰ τὸ ἴδιον γένος ἐπαυξήσουσι τὸν λόγον χρονοκράτορος, ποτὲ μὲν ἐξ ἀνθρώπων ἀνθρωπομόρφων ὄντων, ποτὲ δὲ ἐκ τετραπόδων ὄντων τετραπόδων, ἄλλοτε ἐκ τιμίων κτημάτων ἢ μετάλλων, καθὼς τὸ γνώρισμα τούτων ἀλλαχοῦ εὑρήσεις ἑρμηνευόμενον καὶ ἑκάστου φύσιν καὶ κρᾶσιν καὶ γένος. ἐὰν οὖν Ἄρης τύχῃ ἐπὶ τοῦ ὡροσκόπου δεσπότης τοῦ β' τόπου, λέγομεν ἀπὸ χρημάτων τὴν βοήθειαν καὶ τὴν εὐφροσύνην τοῦ χρονοκράτορος γίνεσθαι. καὶ καθόλου εἰπεῖν· ὅτε σύμφωνός ἐστι ἡ ἐπίβλεψις καὶ ἐκ τόπων ἀγαθῶν, φιλικὴ ἡ βοήθεια· ὅτε δὲ ἄλλως, τὸ ἐναντίον. ἐὰν δὲ τοῦ ὡροσκόπου ὁ κύριος ὑπάρχῃ ἐν τῷ ὡροσκόπῳ, ἀγάλλεται ἕνεκά τινων ἐγγύων πραγμάτων τῶν τῆς ζωῆς ἀναγκαίων ἢ στρατοπεδευμάτων πεμφθέντων ἐπὶ πολιορκίας, ἀλλὰ καὶ κακώσεις ἐχθρῶν. ἐὰν δὲ ὁ τοῦ τρίτου τόπου ἐπὶ τοῦ ὡροσκόπου γένηται, ἀπό τινων οἰκτρῶν καὶ ἀσθενῶν ἢ ἀπ' ἐχθρῶν ἢ τῶν μακρῶν καὶ ἀπεξενωμένων ἢ ἀπὸ ἀδίκου αὐτοῦ δόγματος καὶ τυραννικοῦ ἔσται τὸ ἀποτέλεσμα. ὁ δὲ τοῦ δ' ἐπιβλέπων ἐξ οἱονδήποτε τόπου τὸν νομιζόμενον εἶναι ἀγαθὸν τόπον, ἢ καὶ ἐὰν ἐφορᾶται ἐκ τοῦ ζ' τόπου ὑπὸ ἀγαθοποιοῦ, ἐκ γυναικῶν ἢ γαμικῶν ἀφορμῶν· ἐὰν δὲ ἐκ τοῦ ὀγδόου τόπου, ἀπὸ τεθνεώτων κληρονο-

3 *ταύτης* scr. : *τούτων* C post *ταύτης*] *ὁ* C : delevi
6 *κακ. αὐτῶν* C 10 *ἐφ'* scr. : *ὑφ'* C 13 *εἴ* scr. : *ἤ* C
14 scil. *οὕτως ἐστὶ* 15 ss. cf. Ptol., *Tetrab.*, IV, 4 (p. 183, 2 Boll-Boer) ; *Catal.*, VIII, 4, p. 209 25 ss. cf. *Catal.*, VIII, 4, p. 112

μιῶν ἢ ἀπὸ τετραπόδων ἢ σκύλων ἢ ἁρπαγμάτων· ἐὰν δὲ ἐκ τοῦ ἕκτου τόπου, ἀπὸ ἀσθενῶν ἢ δούλων ἢ ὧν ἡ μάχη καὶ ὁ πόλεμος αἰτία· ἐκ γὰρ τούτου τοῦ τόπου φαίνεται καὶ ἡ ἀνταρσία τῶν δημοσίων. καὶ ἁπλῶς ταύτας ἔχων τὰς ὑποθέσεις γινώσκεις καὶ τοὺς ἄλλους τρόπους καὶ τοὺς τόπους· καὶ τὸ ἐναντίον διὰ τοῦ ἐναντίου.

Excerpta varia

Excerptor ex eodem ni fallor fonte atque capitulum de temporum dominatu (supra, p. 176) varias res in unum collegit. Agit enim p. 179, 7-23 de nuntiis, p. 180, 1-15 de regibus, p. 180, 27 - 181, 19 de quadrantium dominis, p. 181, 20-32 de rebus bellicis, p. 182, 1-29 de trigonis, quaedam abbrevians (p. 180, 22 ss. ; p. 181, 14 s.), alia omittens (cf. p. 180, 22 ; 27 ; 35). In his doctrina de quadrantium dominis adhuc ignota est et facta, ut videtur, zodiaco, cyclo, in modum tetrarchiae terrestris in quattuor regiones diviso ; cf. etiam daemonem tetrarcham a Psello laudatum (Bidez-Cumont, *Les Mages hellénisés*, II, p. 172). — De auctore nihil colligi potest nisi quod res Aegyptiacas hic illic (p. 180, 2 ; p. 181, 2) respicit.

P. 1222. *Φήμης δὲ καὶ ἐπιστολῶν ἀκουομένων κατ' αὐτὴν δὴ τὴν ἔλευσιν τῆς φήμης σκέπτεσθαι χρὴ τοὺς τοῦ χρονοκράτορος ἀστέρας καὶ ὁριοκράτορος ἑκάστου τόπου καὶ κλίματος, ὅθεν ἧξεν ἡ φήμη, καὶ τίνος ἀστέρος ἐστὶν ἡ φήμη, καὶ πῶς μετεσχηματίσθη τὸ διάθεμα ἑκάστου ἀστέρος ἐκ τοῦ ἐν ἀρχῇ τοῦ χρόνου διαθέματος εἰς τὸ τοῦ ἐνεστῶτος ἐν τῇ φήμῃ χρόνου διάθεμα, ἢ τὸ ἐν αὐτῇ τῇ ὥρᾳ, ὅτε ἡ φήμη ἐγένετο. καὶ εἰ μέν εἰσιν οἱ κύριοι τῶν τόπων πονηροὶ καὶ ἰσχυροί, πονηρὰ ἡ φήμη καὶ βεβαία· εἰ δὲ πονηροὶ μὲν ὄντες <καὶ> ταπεινοί, πονηρὰ μὲν ἡ φήμη, ἀλλ' οὐ βεβαία. τῷ δ' αὐτῷ συμφωνήσει καὶ ὁ κλῆρος τῆς Τύχης ἢ αὐτὸς ὁ δεσπότης αὐτοῦ ἢ καὶ ἐν ᾧ ὁ ὁριοκράτωρ· καὶ εἰ μὲν ἐξ ἀμφοτέρων μία ἀποδειχθῇ κρίσις ἀφ' ὁποτέρου τοῦ τρόπου, βεβαία δῆλον ὅτι ἡ φήμη καὶ ἐκβήσεται τὸ λεγόμενον· εἰ δὲ διαφωνήσουσιν ὁ μὲν καλῶς κείμενος, ὁ δὲ ἐναντία, γενήσεται ἡ μὲν φήμη ἀληθής, ἡ ἔκβασις δὲ ἄλλως. ἡ Σελήνη δέ, ὡς ἐπὶ τὸ πολύ, ὅπως καὶ ποίῳ τρόπῳ ἐκβήσεται ἡ φήμη, δηλώσει ἐκ τῆς κατ' αὐτὴν θέσεως καὶ ἧς κεκλήρωται τότε ἐπιβλέψεως.*

7 inc. sine titulo cf. *Catal.*, VIII, 1, p. 257 ; Heph. III, 37 ; Zoroastris frg. 0 79 B.-C. 9 *ὁρ.* Boer : *κυριοκρ.* C 18 post *κρίσις* deficit textus in ima pagina 1222, sed continuatur in p. 1227

Τὰ δὲ συμβαίνοντα τοῖς ἄρχουσιν ἠδὲ τοῖς βασιλεῦσιν ἑνὸς ἑκάστου κλίματος τῶν ἐκ μεταβολῆς κοινῶν ἡμερικῶν πραγμάτων οὕτως ἐπιγνώσῃ · κοινὴ δὲ αὕτη ἡ μέθοδος ἐπὶ πολλῶν πραγμάτων, μάλιστα δὲ ἐπὶ γενέσεων. τὴν μετασχημάτισιν ἑκάστου ἀστέρος ἑκάστοτε ὅλῳ τῷ χρόνῳ ἀκριβῶς ἴδε · ὅπου κεκάκωται ἡ θέσις τοῦ οἱουδήποτε ἀστέρος τοῦ τοῦ κλίματος δεσπόζοντος ἐκεῖ, κακωθήσεται καὶ ὁ ἄρχων τοῦ κλίματος ἐκείνου καὶ οἱ ἐν αὐτῷ ἀνακείμενοι πάντες. οὐ μόνον δὲ αὐτὸν τὸν ἀστέρα χρὴ σκοπεῖν, ἀλλὰ καὶ τὸν κλῆρον τῆς Τύχης τὸν ἐν ἀρχῇ τοῦ χρόνου παραπεσόντα · τὸ δὲ ποσὸν δηλοῦται ἐκ τῶν μοιρῶν τῆς ἐποχῆς αὐτοῦ τοῦ <ἀστέρος> ἐν τοῖς ζῳδίοις καὶ ἐξ ὧν ἐφορᾶται ἀγαθοποιῶν ἢ κακοποιῶν, καὶ μάλισθ' ὅταν ἡ ἐφόρασις ἀπὸ τετραγώνου ἢ διαμέτρου γένηται · ἀλλὰ δεῖ τά τε μήκη καὶ τὰ πλάτη τῶν ἀστέρων σκοπεῖν ἢ σημειοῦσθαι καὶ οὕτω κατὰ τὴν αὐτῶν ἰσχὺν καὶ τὴν ἐνέργειαν τὸ ἀποβησόμενον λέγειν.

Ὁ Ἀναβιβάζων μετὰ ἀγαθοποιῶν ἀγαθός, μετὰ κακοποιῶν κακός, ὁ Καταβιβάζων δὲ μετὰ πάντων κακός. καὶ τοῦτο δὲ πάλιν μέγιστον κριτήριον ἡμῖν ἔσται ἀεί. ἡ ἐπέμβασις τοῦ χρονοκράτορος ἐν τῷ τόπῳ τῷ κατὰ τὸν δεύτερον καὶ τρίτον βαθμὸν τῆς ὑποβιβαστικῆς ἀρχοντικῆς τάξεως [ἥτις] δηλώσει τὰ αὐτῶν καὶ τοῦ λαοῦ.

Ἐδηλώσαμεν δὲ τίνες εἰσὶν οἱ καθ' ὑπόβασιν δηλοῦντες τὰ ἀρχόντων καὶ ὑπάτων καὶ στρατηγῶν καὶ αὐτοῦ τοῦ βασιλέως · μετακινούμενος γὰρ ὁ χρονοκράτωρ ἢ ἐπέμβασιν ποιεῖται ἢ ἐπίβλεψιν πάντως ἐν ἐκείνοις τοῖς ζῳδίοις, ἐν οἷς οἱ δηλωταὶ ἐν ἀρχῇ τοῦ χρόνου ἐτύγχανον.

Καὶ περὶ μὲν τῶν τεταρτημοριαρχιῶν τοῦ Ἄρεως πάντα καλῶς εἴπομεν καὶ φανερῶς. εἴπωμεν δὲ καὶ περὶ τῶν ἄλλων ἀστέρων.

Ἀφροδίτης τε τεταρτημοριαρχούσης λόγοι μὲν πολέμιοι καινοτομηθήσονται · ἔργα δὲ οὐ γενήσεται, εἰ μὴ κακοποιοὶ μεσέμβολοι ἔσονται. καὶ περὶ πάντων δὲ τῶν ἀλλοιώσεων, ἤγουν τὸ κρεῖττον καὶ χεῖρον ἢ τὸ μᾶλλον καὶ ἧττον,κατὰ τὴν προλαβοῦσαν μέθοδον

---

1 s. cf. Herm. Trismeg. p. 83, 29 Gundel *magnates civitatum vel regionum vel climatum dominatores* ; Cumont, *L'Égypte des astrol.*, p. 38, 3 ; 41, 1 ; infra p. 181, 2   5 ἴδε scr. : εἰδὼς C   6 τοῦ τοῦ scr. : τοῦτὸ C   11 supplevi   13 δεῖ scripsi : δὴ C   14 καὶ post ἐνέργ. C : transposui   16 cf. Rhetorium, *Catal.*, VIII, 4, p. 205   20 haec nimis decurtata esse videntur   27 s. excerptor haec omisit   τετ. vide supra introductionem   32 post ἢ] ἐπὶ C : delevi   desideratur ἴδε vel sim.   προλαβ. ad partem refert, quam excerptor omisit

καὶ τὸν λόγον · καὶ καθ' ὁπόσα ἐναλλαγὴ ἐφ' ὁποτέρων τῶν τρόπων ἑκάστου κλιμάρχου ἢ τοπάρχου καὶ τὴν θέσιν καὶ τὴν μετάθεσιν τῶν τόπων ἢ τῶν ὅρων ἢ τῶν κλιμάτων. καὶ στηρίζων μὲν ἀχώριστος τῆς ἰδίας ἐξουσίας ἐστίν, ὑποποδίζων δὲ τὸ ἐναντίον · καὶ ἐπὶ κάκωσιν ὑποποδίζει ἢ στηρίζει μετὰ θυμοῦ καὶ ὀργῆς · εἰ δὲ μή, τὸ ἐναντίον.

Σελήνης δὲ τεταρτημοριαρχούσης εἰρήνην δηλοῖ. πολλὰς δὲ φήμας καὶ ἀγγελίας, ἀλληνάλλους ἀποστόλους τε καὶ ἐπιστολάς · καὶ λειψιφωτοῦσα μὲν ἔλαττον, προστιθεῖσα δὲ τῷ φωτὶ πολλῷ πλέον · τὴν δὲ μεγίστην ποιοῦσα ἀπόστασιν ἀπὸ τοῦ <Ἡλίου> διὰ μέσων τῶν ζῳδίων βραδείας καὶ μακροτέρας τὰς ἀποδώσεις δηλοῖ. ἐγγίζουσα δὲ τὸ ἀνάπαλιν · καὶ γὰρ ἐπὶ τοῦ προτέρου βραδὺς αὐτῆς ὁ δρόμος ἐστίν, ἐπὶ δὲ τοῦ ἐσχάτου ταχύς.

Ἡλίου τεταρτημοριαρχοῦντος ἀγάπην καὶ φιλίαν τῶν βασιλέων δηλοῖ καὶ μάλιστα καλῶς κειμένου.

Ἑρμοῦ δὲ τεταρτημοριαρχοῦντος εἰρήνην καὶ συνέλευσιν βασιλέων καὶ ἐξουσιαστῶν, τεκνογονίας τε αὐτῶν καὶ πολυκαρπίας <δηλοῖ ·> περὶ δὲ τὰ ἀνατολικώτερα μέρη ληστρικὰς ἐφόδους καὶ μικρὰς ἐπιβουλάς.

Ἄρης, δηλωτὴς τῶν πολέμων, ἀνατολικὸς ὑπάρχων, ἐὰν ἀπὸ ἀνατολῆς κινηθῇ <ὁ> πόλεμος, αὐξήσει αὐτὸν καὶ κατὰ τὸν δυτικὸν ἔσται τὸ νῖκος · δυτικὸς δὲ ὢν τὸ ἐναντίον. ταχυτὴς δὲ τοῦ νίκους καὶ βραδυτὴς καὶ αὔξησις τοῦ πολέμου καὶ ἄλλα ὅσα ἐπιζητεῖται, δηλωθήσεται ἐκ τῆς ποιότητος τοῦ σχήματος ἢ τῆς θέσεως ἢ τῆς κινήσεως ἢ τοῦ στηριγμοῦ. ἀλλὰ πάλιν Διὸς καὶ Κρόνου ταχυδρομούντων τάχιον τὸ νῖκος λέγουσι τοῦ Ἄρεως ἐθνῶν ἢ τόπων · εἰ δὲ ἐναντίον, τὸ ἐναντίον. δισώμου δὲ ὄντος τοῦ ζῳδίου καὶ διπλωθήσεται ὁ πόλεμος · πολυμόρφου δὲ ὄντος καὶ ἐν πολλοῖς τόποις γενήσεται · ἐν τροπικῷ δὲ μεταποιηθήσεται. πῶς δὲ καὶ ποίῳ τρόπῳ τὸν σχηματισμὸν αὐτοῦ τε καὶ τῶν λοιπῶν ἀστέρων ἐν στερεῷ <...> οἱ μὲν λέγουσιν ὅτι παυθήσεται, ἐγὼ δὲ οὐχ οὕτως ἀλλ' ὡς εὑρεθήσεται, οὕτως ἐπιμενεῖ.

---

2 κλιμ. vide supra p. 180, 1   τοπ. praepositus Aegyptiorum regioni cuidam, cf. *Catal.*, V, 3, p. 89, 7 ; VII, p. 132, 26 ; Liddell-Scott s.v. ; Cumont, l.c., p. 25, 2   3 κλιμ. Boer : κινημάτων C   9 λειψηφ. C   11 post ἀποδώσεις] ὧν C : delevi   20 post πολέμων] καὶ C : delevi   22 ταχυτῆτα C   23 βραδυτῆτα C   αὔξησιν C   25 Ζεὺς κ. Κρόνος ταχυδραμοῦντες C   27 ss. cf. Theophilum, *Catal.*, XI, 1, p. 220, 13 ; 227, 28   31 lacunam significavi : 'ut δεῖ σημαίνειν ;' (Delatte)

Οὐδὲν δὲ κωλύει εἰπεῖν καὶ τὰς φύσεις ἑκάστου ζῳδίου καὶ τὰς κράσεις καὶ τοὺς σχηματισμοὺς τῶν οἰκείων αὐτῶν δεσποτῶν. Κρόνος οὖν καὶ Ζεὺς σύνοδον ποιήσαντες ἐν ἀνθρωπομόρφῳ ζῳδίῳ ἀνθρώπων πολλῶν ἀπώλειαν δηλοῦσιν, ἐν δὲ τοῖς λοιποῖς ζῳδίοις τῶν λοιπῶν ζῴων. μετὰ δὲ Ἀναβιβάζοντος ἐὰν εὑρεθῶσιν ἐν τῷ Κριῷ ἢ Τοξότῃ ἢ Λέοντι, ἐν τῷ βασιλικῷ λέγω τριγώνῳ, θάνατον λοιμικὸν προσημαίνουσιν· ἐν δὲ τῷ Ταύρῳ καὶ τῇ Παρθένῳ καὶ τῷ Αἰγοκέρωτι, τῷ† λοιπῷ† τριγώνῳ, ἀτεκνίας τῶν τετραπόδων καὶ ἀφορίαν τῶν τῆς γῆς καρπῶν· ἐν δὲ τῷ τοῖς Διδύμοις, Ζυγῷ καὶ Ὑδροχόῳ τριγώνῳ γενόμενοι ἢ ἐπιδόντες ἀλλήλους ἀπὸ τοῦ ὡροσκόπου μάλιστα ἢ τοῦ δύνοντος γυναικῶν εἶναι ἀπώλειαν <σημαίνουσιν>, τὰ δὲ τικτόμενα εὐειδῆ· καὶ ταῦτα δῆλον ὅτι Ἄρεως μεσεμβολοῦντος κατ' ἐπίβλεψιν ἢ καθ' ἑτέραν κρᾶσιν. ἐὰν ἐν ἀρχῇ τοῦ χρόνου Ἄρης καὶ Ἀναβιβάζων διαμετρῶσιν ἀλλήλους ἢ τὰ ὅρια τοῦ ὡροσκόπου κατάσχωσιν ἢ καὶ ἀλλήλων, λιμὸς γενήσεται ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ πόλεμοι καὶ λῃσταρχίαι· καὶ εἰ μὲν πάντες, εἶναι καὶ τὸν ὄλεθρον πλείονα· εἰ δὲ οὐ πάντες, ἐλάττονα. ἐὰν δὲ Κρόνος καὶ Ἀναβιβάζων διαμετρήσωσιν ἢ τὰ ὅρια τοῦ ὡροσκόπου Κρόνος ἐπέχῃ, ψύχος γενήσεται πολὺ καὶ χάλαζα καὶ χειμών· τὸ δὲ μᾶλλον καὶ ἧττον ἐκ τῆς κράσεως καὶ φύσεως τοῦ ζῳδίου, ἐν ᾧ ὅ τε ἀστὴρ καὶ ὁ ὡροσκόπος ὑπῆρχε, καὶ τῶν σχηματισμῶν τῶν λοιπῶν ἀστέρων διακριθήσεται. τὸ δὲ λοιπὸν τρίγωνον τοῦ τε Καρκίνου καὶ τοῦ Σκορπίου καὶ τῶν Ἰχθύων ἐὰν καὶ ἐν αὐτῷ τῷ προγενομένῳ σχήματι τῶν εἰρημένων ἀστέρων γενήσεται, στέρησιν ὑδάτων δηλοῖ καὶ ταραχαὶ ἔσονται κατὰ θάλασσαν καὶ <οἱ> ἀγαθόφρονες λῃσθήσονται καὶ διωχθήσονται οἱ δικαιόφρονες· Ἄρεως δὲ ἐπιμαρτυροῦντος καὶ ἀποκτανθήσονται· Σελήνης δὲ ἐπιμαρτυρούσης ἀκακώτως διασωθήσονται· Ἀφροδίτης δὲ ὁμοίως διὰ λήθης τοῦ διωγμοῦ...

1 cf. *Catal.*, II, p. 160 (Doroth. frg. 58a Stegem.) ; 204 7 *προσημαίνει* C 8 *δευτέρῳ* vel *γηίνῳ* coni. Boer 9 corrigere nolui 14 *χρόνου* scripsi : *Κρόνου* C post *χρ.*] *καὶ* C : delevi *Ἄρεως κ. Ἀναβιβάζοντος* C *διαμετροῦσιν* C 16 *λῃστ.* cf. Cumont, *L'Égypte des astrol.*, p, 65 ss. 26 *λῃσθ.* scripsi (cf. l. 29) : *λυθήσονται* C

haec apocalypticum sermonem sapiunt cf. Lact., *Instit.*, VII, 17, 9 (= Hystasp. frg. 15 B.-C.) *id erit tempus quo iustitia proicietur..., quo mali bonos hostiliter praedabuntur...* 29 in ima pagina 1230 abrumpitur

EXCERPTA EX CODICE 26 (ARCH. SELDEN. SUPRA 17)

F. 120^{v}. *<Πάλχου ·> περὶ ἀφροδισίων ἵνα ἔρωτες γένωνται.*

Τῆς Σελήνης οὔσης μετὰ Ἀφροδίτης ἑσπερίας οὔσης καὶ ἐπακολουθοῦντος Ἄρεως ἢ τοῦ Ἑρμοῦ ἢ τοῦ Διὸς ἢ τοῦ Κρόνου ἐρασθήσεται ὁ ἀνὴρ τῆς γυναικός. ἐὰν δὲ ἡγῆται εἷς τούτων τῶν ἀστέρων, ἀκολουθῇ δὲ ἡ Ἀφροδίτη, ἡ γυνὴ τοῦ ἀνδρὸς ἐρασθήσεται. περικαμπτέτωσαν δὲ οἱ μὲν ἄνδρες τὸν Λέοντα· εἰ δὲ μή, μεγάλας δαπάνας ποιήσει διὰ τὴν γυναῖκα. ἐάν τε ἡ γυνὴ ἐρασθῇ τοῦ ἀνδρός, ἐάν τε ὁ ἀνὴρ τῆς γυναικός, ἑσπερία δὲ οὖσα ἡ Ἀφροδίτη, ταῖς γυναιξὶ μᾶλλον συμφερωτέρα ἐστὶ ἢ τοῖς ἀνδράσιν καὶ πρὸς τοὺς παῖδας κινητικὴ μάλιστα καὶ ποιοῦσα ἔρωτα, ὅτε οὐ δεῖ. ὅταν δὲ ἑῴα ᾖ...

Εὔθετα δὲ ζῴδιά εἰσι πρὸς ἐρωτικὰς ἐπιθυμίας Κριός, Ταῦρος, Καρκίνος, Ζυγός, Αἰγόκερως, Ὑδροχόος· ἀνεπιτήδεια δέ· Δίδυμοι, Παρθένος, Τοξότης, Ἰχθύες. ὁ δὲ Λέων ταῖς μὲν γυναιξὶν εὔθετος, τοῖς δὲ ἀνδράσιν οὔ· ὁ δὲ Σκορπίος ἀμφίβολος. βλέπε

O(xoniensis) ; **A**(ngelic. 29 = Romanus 2), f. 115, cap. ξζ' ; **N**(eapolitanus II C 33 = Italicus 19), f. 411 ; **P**(arisinus 10 = 2506), f. 68 cap. σε' ; Vaticanum 10 (= 1057), f. 126 ex A descriptum omisi

1 *ἀφροδησίων* O 2 *ἵνα - γένωνται* A : *ἔρωτος* NO : *ἐρώτων* P 3 *οὔσης*^{2} om. NO *ἐπακολουθοῦν* P : *ἀκολουθοῦντος* NO 4 *ἢ* (*ὁ* O) *τοῦ Ἑρμ.* post *Κρ.* NOP 5 *ὁ* om. NO *ἡγ.* om. NO (lac.) *ἓν* A *τούτης* P 6 *ἀκολουθεῖ* P : *ἕπεται* NO 7 *περικ.* AP : *περιβλεπέτωσαν* NO *εἰ δὲ* (om. P) *μὴ* AP : *ἐπεὶ* NO 8 *ποιεῖ* A : *ποιοῦσι* P *διὰ* AP : *δὲ* NO *τὴν. γυν.* ANO : *τὸ γυτζρ* (sic) P post *γυν.*] *ποιεῖ πρὸς τὴν γυναῖκα* add. NO *ἐάν τε* P : *ἐὰν δὲ* A : *εἴτε* NO 9 *ἐάν τε* A : *εἴτε* NO : *καὶ* P *δὲ* NOP : *τε* A 10 post *γυν.*] *δὲ* add. NO *συμφορότερα* NO *ἐστὶ* om. NO 11 *τοὺς πρὸς* NO *κινητικὰς* NO *μ.κ.π.* A : *μᾶλλον δὲ ἐμποιοῦσα* (*-σιν* NO) NOP *ἔρωτας* NO *ὅ. οὐ δ.* om NOP ea quae sequuntur in A in margine scripta sunt 12 *ὅταν - ᾖ* om. NO *δὲ* om. P lacuna 10 litterarum A 13 *δὲ* om. NOP *ἔστι* NO *ἐρ. ἐπ.* ANO : signa cryptographica P *ὁ Κρ. καὶ* NOP *Τ.* NO : *ὁ* (om. A) *Σκορπίος* AP 14 *Καρκ.* - 16 *ἀμφ.* AP : *οἱ Δ. ἄθετοι, ὁ Καρκ. εὔθετος, ὁ Λ. τ.* (*μὲν* om.) *γ. εὔ. τ.* (*δὲ* om.) *ἀ. ἄθετος, Π. ἄ., Ζ. εὔ., Σκ. ἀμφίβολον, Τ. ἄ., Αἰγ., εὔ., Ὑ., Ἰ. ἄθετοι* (*Ὑ. εὔ., Ἰ. ἄ.* N) NO 16 *οὔ* P : om. A *βλ. δὲ* om. A

δὲ ἅμα καὶ εἰς τὰς γενέσεις · ἐὰν ἔχῃ Ἀφροδίτη τετράγωνον Κρόνον ἢ Ἄρεα <ἐν> τινι ἀνεπιτηδείῳ τόπῳ, ἐμμανεῖς εἰσι πρὸς τοὺς ἔρωτας · πολύκοινοι γὰρ γίνονται οἱ ἄνθρωποι. ὁμοίως ἐρῶσι καὶ ὅτε προηγεῖται τοῦ Διὸς Ἀφροδίτη, ἀλλὰ ταχὺ παύονται καὶ οὐ πολὺν χρόνον ἔχουσι τὰς γυναῖκας · τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν γυναικῶν.

De siderum indicibus

Indices siderum Teucri, Valentis, aliorum, quos Bollius olim in codicibus invenit, commoverunt eum, ut celeberrimum nunc librum de *Sphaera* conscriberet (1903; textus: p. 1-72; 465 s.). Postea nihil huiusmodi ad notitiam nostram venit praeter longum cap. 25 Hermetis Trismegisti (p. 50-73 Gundel); indices veteres et novi optime nunc retractati sunt in Boll-Gundel, *Sternbilder, Myth. Lex.*, VI, p. 867 ss.; 1029 ss. Quae infra sequuntur ad haec studia pertinent. Quamquam anecdota re vera non sunt, sunt tamen maioris momenti. Partem enim priorem, Arateam, quam edidit E. Maass, *Commentariorum in Aratum reliquiae* (locos in apparatu critico notavimus; ad rem cf. etiam Maass, *Aratea*, p. 377 ss.; Rehm, *Hermes*, XXXIV, 1899, p. 257 ss.), codex Seldenianus alio ordine praebet, quaedam addit, alia omittit variasque offert lectiones. Pars posterior, Hipparchea, editione Bolliana (*Bibliotheca mathematica*, 3. *Reihe*, II, 1901, p. 185 ss.; cf. Rehm, *l.c.*, p. 251 ss.) correctior est, non solum eo quod hic quoque testimonium codicis nostri addit, sed etiam quod codices quosdam alterius versionis, quae numeros stellarum non praebet, omittit.

F. 177v. *Ἑτέρου· <Περὶ τῆς τῶν φαινομένων θέσεως.>*

Ὁ οὐρανὸς σφαιροειδής ἐστι καὶ κύκλῳ περιέχων τὴν γῆν. ἡ δὲ κατὰ τὴν ἐξήγησιν Φαινομένων τοῦ Ἀράτου θέσις αὕτη ἐστίν,

1 *ἅμα* NOP : *ὁμοίως* A *καὶ* AP : *κατὰ* NO *εἰς* om. NOP *ἐὰν ἔχῃ* AP : *ἡ μὲν γὰρ ἔχει ἡ* NO 2 *τ. ἀν. τ., ἐμμ. εἰ.* Boer : *τινὶ ἀνεπιτηδ(είως* A) *κάτω ἐμμενοῦσι* (*ἐμμένοι* P) AP : *τίθε ἄθετον ἐν τῷ ἐκβαίνειν* NO : possis etiam *τίθε ἀνεπιτηδείους, καίτοι ἐμμαινομένους* 3 *πολύκινοι* AP : *π. μὲν* NO *γὰρ* ante *πολ.* AP post *ὁμ.*] *μέντοι γε* add. NO *καὶ ὅτε* AP : *ὅταν* NP 4 *ἡ Ἀφρ. τ. Δ.* NO *παύ.* NO : *ποιοῦνται* AP *πολὺ* P

O(xoniensis = Seld. 16), f. 177v; **M**(aass, *Comment. Arat.*); de ceteris siglis vide infra p. 189.

6 - p. 185, 21 cf. M p. 102-106 . 6 *Ἑτ.* O : an *Ἀράτου* ? titulum e M p. 102 supplevi 9 *Φαιν.* M : *φαίνουσα* O

ὡς ἔχει μεσουρανοῦντα τὸν Αἰγοκέρωτα ἐπὶ τοῦ χειμερινοῦ τροπικοῦ, ἀνατολικὸν Κριὸν ἐπὶ τ. ῦ ἐαρινοῦ, δυτικὰς Χηλὰς καὶ Δράκοντος κεφαλήν. ἔχει δὲ πόλους μὲν δύο, ἀρκτι όν, ὅλον μετέωρον, τὸν καὶ βόρειον λεγόμενον, ἕτερον δὲ ἀνταρκτικὸν ἐν τῷ ἀφανεῖ, τὸν καὶ νότιον λεγόμενον. κύκλους δὲ μεγίστους δ' χωρὶς τοῦ ὁρίζοντος. εἰσὶ δὲ οὗτοι · μεσημερινός, ἰσημερινός, ζῳδιακός, γαλαξίας. καὶ ἐλαχίστους ὁμοίως δ' · ἀρκτικὸν ὅλον ὑπὲρ γῆν, ἐν ᾧ καταστερίζονται ζῴδια δ', Ἄρκτοι δύο, Κηφεὺς ἀπὸ τῶν στηθέων, Δράκων · θερινὸν τροπικὸν μεῖζον ἔχοντα τὸ ὑπὲρ γῆν, ἧττον δὲ τὸ ὑπὸ γῆν, ἐφ' ᾧ καταστερίζονται ζῴδια ὀκτώ, Βοώτης, Στέφανος, ὁ Ἐν γόνασι, Λύρα, Ὄρνις, Κασσιέπεια, Περσεύς, Ἡνίοχος · χειμερινὸν τροπικὸν πλεῖον ἔχοντα τὸ ὑπὸ γῆν, ἧττον δὲ τὸ ὑπὲρ γῆν, ἐν ᾧ καταστερίζονται ζῴδια ἐννέα, Ἠριδανός, Ἀργώ, Κύων, Κένταυρος σὺν Θηρίῳ, Θυτήριον, ἄλλος Στέφανος, ὃν ἔνιοι ' λοῖον ὑπέλαβον, Ἰχθὺς μέγας, Κῆτος · ὁ δὲ ἰσημερινὸς κύκλος ἴσον ἔχει τὸ ὑπὲρ γῆν καὶ τὸ ὑπὸ γῆν, ἐν ᾧ καταστερίζονται ζῴδια δέκα, Ἵππος, Δελφίς, Ὀιστός, Ἀετός, Ὀφιοῦχος, Ὕδρος, Κρατήρ, Δελτωτόν, Ἀνδρομέδα. ὁ δὲ ζῳδιακὸς κύκλος ἔχει ζῴδια δώδεκα · Κριόν, Ταῦρον, Διδύμους, Καρκίνον, Λέοντα, Παρθένον, Ζυγόν, Σκορπίον, Τοξότην, Αἰγοκέρωτα, Ὑδροχόον, Ἰχθύας.

Ὁ μὲν οὖν ἀρκτικὸς κύκλος τέμνει ζῴδια δύο, Βοώτου μέσον ἀγκῶνα, Κηφέως στῆθος. ὁ δὲ θερινὸς τροπικὸς τέμνει ζῴδια δέκα, Ὀφιούχου ὦμον, Ὄφεως τράχηλον, Ὄρνιθος κεφαλήν, Ἀνδρομέδας σῶμα, Περσέως χεῖρα, Ἡνιόχου πόδα, Βοώτου πόδας, Διδύμων κεφαλάς, Καρκίνου μέσον, Λέοντα περὶ μέσον. ὁ ἰσημερινὸς κύκλος τέμνει ζῴδια ἐννέα, Κριὸν μέσον, Ὠρίωνα μέσον, Ὕδρου τράχηλον, Κρατῆρα, Κόρακα, Χηλὰς μέσας, Ὀφιούχου γόνατα, Ἀετὸν μέσον, Ἰχθύος βορείου οὐράν. ὁ δὲ χειμερινὸς κύκλος τέμνει ζῴδια ἑπτά, Αἰγοκέρωτα μέσον, ὕδωρ τὸ ἀπὸ τοῦ Ὑδροχόου, <οὐρὰν> Κήτου, μέσον Λαγωοῦ, Σκορπίου κέντρον,

2 *ἀνατολικοῦ* O *τῆς* O *ἐαρινῆς* O : *ἰσημερινοῦ* M 6 *ὡρίζοντος* O 8 *κατεστήρικται* M (et sic deinceps contra codd.) *ζῶδα* (sic saepius) O 10 *καστερ.* O 13 *ἐννέα* O : *ς'* M *Ὀριδανός* O 14 *Κύων* om. M *ἄλλος* - 15 *ὑπέλ.* om. M 15 *Κῆτος* om. M 17 *δέκα* O : *ιβ'* M : desideratur signum unum 19 *Δίδυμον* O 21 *Ἰχθύν* O 22 - p. 186, 2 cf. M p. 112-114; Arat. 480-524 24 s. leg. *Ἀ. χεῖρα, Π. σῶμα* : cf. M et Ar. 27 *ἐνέα* O : *ιε'* M 30 *ἑπτὰ* O (sed enumerat novem) : *ι'* M 31 suppl. M *Κῆτος* O

Κυνὸς κεφαλήν, Ἀργοῦς πρύμναν καὶ ἱστόν, Κενταύρου ὤμους, Τοξότου κοιλίαν.

F. 178. <*Περὶ τῶν συνανατολῶν καὶ συγκαταδύσεων.*>

Ἐπεὶ δὲ ἀκριβῶς ἐξεθέμεθα τούς τε κύκλους καὶ τὰ ἐν αὐτοῖς κατηστερισμένα ζῴδια, τά τε ὑπὸ τῶν κύκλων τεμνόμενα, νῦν τὰς συνανατολὰς καὶ τὰς συγκαταδύσεις ἐκθησόμεθα.

Καρκίνου ἀνατέλλοντος ἀνατέλλει ὅλος Ὠρίων, Αἴξ, Ἔριφοι, Κύων, Λαγωός, Ἄρκτος μεγάλη · δύνει δὲ Ἰχθύος μεγάλου ἥμισυ, Ἀετός, Ὄρνιθος κεφαλή, Δελφίς, Λύρα.

Λέοντος ἀνατέλλοντος ἀνατέλλει Ὕδρου κεφαλή · <δύνει δὲ> Ὄρνιθος τὰ λοιπά, Κηφέως ἀριστερὰ χείρ.

Παρθένου ἀνατελλούσης ἀνατέλλει Ὕδρος ἕως Κρατῆρος, Κόραξ, Ἀργὼ ὅλη, Βοώτου τὰ δεξιὰ μέρη · δύνει δὲ Κῆτος, Ἀνδρομέδα, Κασσιέπεια, Κηφέως χεὶρ δεξιά.

Χηλῶν ἀνατελλουσῶν ἀνατέλλει Βοώτου τὰ λοιπά, Ὀφιούχου ὄφις, Κενταύρου <οὐρά> · δύνει Δελτωτόν, Κῆτος, Περσεύς, Ποταμοῦ τὸ ἥμισυ.

Σκορπίου ἀνατέλλοντος ἀνατέλλει Δράκοντος κεφαλή, Στέφανος καὶ Ἀετοῦ οὐρά · δύνει δὲ Ἡνίοχος, Αἴξ, Ἔριφοι, Ὠρίων, Λαγωός, Ποταμός, Προκύων, Κύων.

Τοῦ Τοξότου ἀνατέλλοντος Πλειάδες ἀνατέλλουσιν, Ἀετός · ὁ ἐπὶ τῶν κεφαλῶν τῶν Διδύμων κρύπτεται, Ἀρκτοῦρος δύνει.

Αἰγοκέρωτος ἀνατέλλοντος ἀνατέλλει Ἰχθὺς μέγας, Ἀετός, Οἰστός, Δελφίς, Ὄρνις, Λύρα · δύνει δὲ Ἄρκτος μεγάλη, Ὕδρου κεφαλή, Ἀργοῦς πρύμνα.

Ὑδροχόου ἀνατέλλοντος ἀνατέλλει Ἵππου τὰ ἔμπροσθεν, Ὄρνις ὅλη, Κηφέως τὰ ἀριστερὰ μέρη · δύνει δὲ Ὕδρος ἕως Κρατῆρος, Ἀργὼ ὅλη.

---

1 *κεφ.* O : *πόδας* M *Ἀργὼ* O post *καὶ*] *ὁ* O : delevi 2 *κοιλ.* O : *τόξον* M 3 - p. 187,13 cf. M p. 114-123 (ubi ad codices adde Paris. 4 [2419], f. 24v) ; Arat. 569-731 titulum supplevi : cf. 7 et M 5 *τὰ* scr. : *τὰς* O 8 *Αἴξ* - 9 *μεγάλη* om. M Ar. *Ἔριφος* O 10 *Ἀετός* - *Λύρα* cum Virgine MAr. 11 supplevi 12 *Ὄρνιθος* - *χείρ* O : om. MAr. 14 *Κῦτος* O *Κῆτος* - 15 *δεξιά* cum Chelis MAr. 17 suppl. e M 20-23 aliter M 20 *Ἔριφος* O 26 *Ἀργὼ* O 28 *Κυφέως* O

Ἰχθύων ἀνατελλόντων ἀνατέλλει Ἵππου τὰ λοιπά, Κασσιέπεια ὅλη, Ἀνδρομέδα ἕως μηρῶν, Κήτους ἥμισυ † τὰ πρὸς τῇ οὐρᾷ † · δύνει Ὕδρος, Κόραξ, Βοώτου τὰ δεξιὰ μέρη.

Κριοῦ ἀνατέλλοντος ἀνατέλλει Κήτους τὰ λοιπά, Δελτωτόν, Ἀνδρομέδας τὰ λοιπά, Περσεὺς ἄχρι τῶν ἰσχίων · δύνει δὲ Κενταύρου ὀπίσθια, Ὀφιούχου ὄφις ἄχρι τῆς ἀριστερᾶς χειρός.

Ταύρου ἀνατέλλοντος ἀνατέλλει Περσέως τὰ λοιπά, Ἔριφοι, Ἡνιόχου πόδες · δύνει δὲ Κένταυρος ὅλος ἐπὶ τῷ θηρίῳ, Ὀφιοῦχος ἐπὶ τῷ ὄφει, Κενταύρου θηρίον, δεξιὰ χεὶρ τοῦ Ἐν γόνασι καὶ εὐώνυμος πούς.

Διδύμων ἀνατελλόντων ἀνατέλλει Ἡνίοχος, † Βοτώ †, Λαγωός, Ποταμός, Προκύων, Ἄρκτος μεγάλη · δύνει δὲ τὰ λοιπὰ τοῦ Ἐν γόνασι καὶ ὁ ὑπὸ τὸν Τοξότην Στέφανος.

F. 178v. <*Περὶ τῶν ἐν γῇ ζωνῶν*>.

Ἔστι δὲ καὶ αὕτη ἡ γῆ σφαιροειδὴς ἔχουσα μέσον ἄξονα διήκοντα διὰ τοῦ νοτίου καὶ βορείου πόλου, εἰς ὃν καταφέρεται πάντα τὰ ἄστρα · ὁ δὲ ἄξων ἐστὶ πνεῦμα θεῖον, ἄχραντον πάντη δικνούμενον. στρέφεται οὖν ἡ σφαῖρα ἀπὸ ἀνατολῶν ἐπὶ δυσμάς. ζῶναι δὲ πέντε · ὧν ἡ μία ὅλη μετέωρος, κατεψυγμένη, βόρειος, Κρόνου, ἀοίκητος · ἡ δευτέρα θερινή, πλέον ἔχουσα τὸ ὑπὲρ γῆν, ἧττον δὲ τὸ ὑπὸ γῆν, κύκλοθεν οἰκησίμη, εὔκρατος, Διός · ἡ τρίτη ἰσημερινή, ἴσον ἔχουσα καὶ τὸ ὑπὲρ γῆν καὶ τὸ ὑπὸ γῆν, διακεκαυμένη, ἀοίκητος, Ἄρεως · ἡ τετάρτη χειμερινή, πλεῖον ἔχουσα τὸ ὑπὸ γῆν, ἧττον δὲ τὸ ὑπὲρ γῆν, κυκλόθεν οἰκησίμη, εὔκρατος, Ἀφροδίτης · ἡ πέμπτη νότιος, ἀφανής, κατεψυγμένη, Ἑρμοῦ. καὶ τῶν εὐκράτων τε καὶ οἰκησίμων τὴν βορειοτέραν ἡμεῖς κατοικοῦμεν, τὴν δὲ νοτιωτέραν οἱ ἀντίποδες, καὶ διὰ τοῦτο ἐν Καρκίνῳ γενόμενος ὁ Ἥλιος† τὴν μεσαιτάτην τοῦ καύματος ποιεῖται† κατὰ τὴν ἡμετέραν κορυφὴν βεβηκώς · ἐλθὼν δὲ ἐπὶ τὸν Αἰγοκέρωτα ἡμῖν μὲν χειμερινός, τοῖς δὲ ἀντίποσι καῦμα παρέχει. εἰσὶ δὲ καὶ [ἕτεροι] λοξοὶ κύκλοι δύο ἀλλήλους σκιάζοντες, φερόμενοι ἀπὸ

---

7 *Ἔριφος* O 8 *Ὀφιοῦχον* O 11 *Λαγω* O 14 titulum supplevi, cf. M p. 139 ; Gemin. cap. XV al. 15 s. cf. M p. 124, 4-6 17 s. cf. M p. 127, 22 19-25 cf. M p. 64, 24 - 65, 8 ; 124, 10 - 125, 2 ; 132, 21 - 133, 4 20 *ἀοίκητος* scr. : *ἀκίνητος* O 25 *κατεστυγμένη* O 26-30 cf. M p. 64, 8 ss. 31 *ἕτ.* O : seclusi

βορρᾶ ἐπὶ νότον<...> καὶ γαλαξίας δὲ κύκλος λοξὸς ὢν τέμνει τὸ σφαιρεῖον · ἡ δὲ περὶ αὐτὸν μυθολογία ἐστὶν ψευδής. ἡ ἀρκτικὴ ζώνη ἔχει ἑξηκοστὰ ς′ · καὶ ἡ ἰσημερινὴ ζώνη ἔχει ἑξηκοστὰ η′ · καὶ ἡ χειμερινὴ ζώνη ἑξηκοστὰ ι′ · καὶ ἡ ἀνταρκτικὴ ἔχει ἑξηκοστὰ ς′ · ὥστε εἶναι τὸ ὑπέργειον ἑξηκοστῶν λ′ καὶ τὸ ὑπόγειον ἑξηκοστῶν λ′ · γίνεσθαι οὖν τὴν ὅλην γῆν κυκλόθεν ἑξηκοστῶν ξ′. τὸ δὲ ἑξηκοστόν ἐστι σταδίων ͵δσ′ καὶ συνάγονται ὅλης τῆς γῆς μυριάδες κε′ καὶ β′.

F. 179. <*Περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων θέσεως.*>

